Nicolas Valaoritis

1894

Nicolas Valaoritis

1894

ΚΑΤΡΕΙΟΣ
ΒΙΒΛΙΟΘΗΚΗ
ΕΡΓΑΣΤΗΡΙΟΝ
ΒΙΒΛΙΟΔΕΣΙΑΣ
ΚΑΙ
ΣΥΝΤΗΡΗΣΕΩΝ

# ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ
## ΝΙΚΟΛΑΟΥ τοῦ ΚΕΡΑΜΕΩΣ·
Φιλοσόφου, καὶ Ἰατροῦ τοῦ ἐξ Ἰωαννίνων.

Ἀντέγκλημα τῶν ἐγκαλούντων ἀδίκως κατὰ τῆς μιᾶς, καὶ μόνης ἁγίας, καθολικῆς, καὶ ἀποστολικῆς θεονύμφου τῆς τοῦ Χριστοῦ ἐκκλησίας, φιλοπονηθὲν κατ᾽ ἐπιταγὴν, καὶ πρόσκλησιν τοῦ ἐλέῳ Θεοῦ χρηματίζοντος ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας Ῥώμης, οἰκουμενικοῦ τε πατριάρχου κυροῦ Παρθενίου, ἔτι δὲ τῆς περιτελεστάτης τῶν ἀρχιερέων, καὶ συλλειτουργῶν αὐτοῦ ἱερᾶς συνόδου.

## ΠΡΟΟΙΜΙΟΝ.

Δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησε. ἀδικίαν δὲ ἐμισησάμην, τὸν δὲ νόμον σου ἠγάπησα, φησί που τῶν αὐτοῦ θεοπνεύστων λογίων ὁ θεοπάτωρ Δαβίδ, μᾶλλον δὲ τὸ ἐν αὐτῷ φθεγξάμενον ἅγιον Πνεῦμα, κατὰ τὸν θεολόγον Γρηγόριον θεοπρόβλητε δέσποτα, ἱεραρχῶν καλλονὴ, κλῆρος ἐντιμότατος, χρησιμότης ἀρχοντικὴ, ἵνα δὲ συνελὼν εἴπω, πᾶς ὁ τοῦ Κυρίου χριστεπώνυμος, λαὸς δὲ περιούσιος. Ἐπειδήπερ εἴτις δικαιοσύνη, ὡς θεία θέμις ἄνωθεν καταπεμφθεῖσα (δικαιοσύνη γὰρ οὐρανόθεν διέκυψεν, ἀλήθεια δὲ ἐκ τῆς γῆς ἀνέτειλε) Θεῷ μὲν Κυρίῳ παντοκράτορι προσφιλής ἐστι, καὶ περιπόθητος. ἀπεναντίας ἄρα πᾶσα ἀδικία θεομισὴς, καὶ Κυρίῳ δικαίως σταθμίζοντι τὰ σύμπαντα προσαπαίσιος, ὁμοῦ τε καὶ ἀποτρόπαιος, ὅση ὁμοφρονούσῃ πολιτείᾳ γεγονυῖα, γιγνομένη, καὶ γενησομένη, χαριτουμένη τε, καὶ ἑνουμένη τῷ ἀκαταλύτῳ συνδέσμῳ τῆς ἀγάπης. καὶ τῷ θείῳ πνεύματι φωταγωγουμένη οἷα δὴ κακόγονος, καὶ παρὰ τοῦ ψεύδους τὴν ἀρχὴν λαβοῦσα, καὶ τῷ φωτὶ τῆς ἀληθείας ἀντίδικος τυγχάνει. πᾶς γὰρ ὁ τὰ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ τῇ σκοτίᾳ ἐγκαλυπτόμενον ἐξελέγχεται τῇ παρουσίᾳ τῆς φωτοβόλου λαμπρότητος φησὶν ὁ ἀποστολικὸς λόγος. ὅθεν τῆς μὲν δικαιοσύνης τέκνα Θεοῦ εἰσὶν τὰ τῆς αὐτοῦ υἱοθεσίας, καὶ τὰ εἰς αὐτὸν πιστεύοντα. πᾶν γὰρ πνεῦμα ὃ ὁμολογεῖ Κύριον Ἰησοῦν Χριστὸν ἐσταυρωμένον ἐκ τοῦ Θεοῦ ἐστὶ, τῆς δὲ ἀδικίας υἱοὶ τῆς ἀπωλείας οἱ ἐκ τοῦ διαβόλου προβληθέντες, καὶ εἰς ἀνθρώπους πιστεύοντες, καὶ λατρεύοντες τῇ κτίσει παρὰ τὸν κτίσαντα εἰσὶν, ὅσοι προσκολλῶνται ἀνθρωπίνοις σοφίσμασι πεποιθότες εἰς αὐτὰ, καὶ μὴ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ Κύριον Ἰησοῦν Χριστὸν ἐσταυρωμένον ἐκ τοῦ διαβόλου ἐστὶν, ἐκείνων μὲν πατρὶς ἐστὶν ἡ οὐράνιος βασιλεία, καὶ τὸ φρόνημα τοῦ ζωοποιοῦντος Πνεύματος. Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, καὶ τὸ φρόνημα τοῦ Πνεύματος ζωὴ, καὶ εἰρήνη.



ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΓΕΛΟΥ Ν. Π...

ἀλλοιούμενον τὸν ἄνθρωπον χερσὶν ὃν ἐποίησε, κλίνας οὐρανοὺς κατέρχεται, τουτέστιν ἐκ παρθένου θείας Ἁγνῆς ὅλον ἐνεδύσατο ἀληθείᾳ σαρκωθείς, ὅτι δεδέξασθαι. οὐ γὰρ Πέτρος, ἢ Παῦλος σεσάρκωται, καὶ ἔπαθεν ὑπὲρ ἡμῶν, ἀλλ᾽ αὐτὸς ὁ Κύριος συγκαταβατικῶς ὁ δημιουργὸς ἡμῶν. Τέταρτον, εἰ ταυτόν ἐστι τὸ πιστεύειν εἰς τὸν Χριστὸν καὶ πιστεύειν εἰς τὸν Πάπαν εἵπετο συγχεῖσθαι τὴν θείαν οὐσίαν, καὶ κτιστὴν εἶναι, ἢ ἄκτιστον τὸν Πάπαν, ὡς τὴν αὐτὴν σχέσιν ἐχόντων, τὰ γὰρ πρός τι συνδιάζονται τῷ λόγῳ τῆς κατὰ φύσιν σχέσεως, οὐ συντιθεμένου τοῦ ἑνός, ἀνάγκη συντίθεσθαι καὶ τὸ ἕτερον, καὶ ἀφαιρουμένου συναναιρεῖσθαι καὶ τὸ ἕτερον, εἰ γὰρ τὸ μὴ συγκατατίθεσθαι εἰς τὸν Πάπαν ταυτόν ἐστι τὸ μὴ πιστεύειν εἰς τὸν Χριστὸν κατὰ τὴν παράλογον θέσιν τῶν λατινοφρόνων, ἕπεται τὸν Πάπαν μὴ χάριτι Θεὸν εἶναι, ἀλλὰ κατ᾽ οὐσίαν, ὥσπερ ὁ Χριστός, ὅπερ τίς τῶν εὐσεβῶν ὑποφέρει ἀρειομανίας γέμον, καὶ σαβελλιανῆς συγχύσεως, ἧς ῥύσαιτο ἡμᾶς Κύριος διὰ πρεσβειῶν τῆς παντανάσσης Θεοτόκου ἱκετεύοντες, καὶ λέγοντες, Ἡ πάντων Ἄνασσα συντήρησον τὴν σὴν ποίμνην Ἰταλῶν καινοτομίας ἀπάτης, σαβελλίου τήν ποτε κατασβεσθεῖσαν αἵρεσιν, καὶ Ἀρειομανίας, βλασφημοῦσι γὰρ τὰ πρόσωπα.

## ΚΕΦΑ΄ΛΑΙΟΝ, ΙΖ΄.

Ὅτι τὸ πιστεύειν τῷ Πέτρῳ ἐστὶ τὸ πιστεύειν τοῖς ῥήμασι τοῦ Θεοῦ, καὶ τοῦ Χριστοῦ, ὅπερ μὴ μόνον τῷ μακαρίῳ Πέτρῳ εἴρηται, ἀλλὰ καὶ πᾶσι τοῖς Ποιμέσι, καὶ Ἀποστόλοις, καὶ θείοις Ἱεράρχαις, καὶ οἰκοδομοῦντι τὴν ἐκκλησίαν αὐτοῦ κατ᾽ ἐπιτροπήν, καθὸ καὶ ἐπινοεῖται τό, καὶ ἐπὶ ταύτῃ τῇ Πέτρᾳ θετικῶς κατά τινας τῶν Θεοδιδάκτων Ἀποστόλων.

Πρόδηλον τοῦτο ἐκ τῶν διδασκάλων Χρυσορρήμονος, καὶ Βουλγαρίας, διότι ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ, ἀμέλει ὁ ἀθετῶν τοῖς λαλουμένοις ὑμῖν ῥήμασιν ὡς ὀργάνοις τοῦ παναγίου Πνεύματος ἐμὲ ἀθετεῖ, τὸν καταπέμψαντα ὑμῖν τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, ὅπερ οὐκ ἐδίδαξε μόνον ὁ ἀθετῶν σὲ τὸν Πέτρον, ἀλλὰ καὶ πάντας τοὺς διδάσκοντας εἰς τὸ ὄνομα αὐτοῦ, καὶ ὁ δεχόμενος αὐτούς, διαβαίνει ἥτε ἀθέτησις, καὶ ἡ δεξίωσις. πίστις, καὶ ὁμολογία, ἄρνησις, καὶ ἀπιστία εἰς αὐτόν.

### Ὁ ἀντίδικος.

Ἡ ἁγία ἐκκλησία τὰς ἐναντίας τῷ Πατριάρχῃ τούτῳ φωνὰς ἐν τῷ Συναξαρίῳ τῶν ἁγίων Ἀποστόλων Πέτρου, καὶ Παύλου ἀφίησιν οὕτω.

Τοῦ κυρίου τὸν μὲν μακαρίσαντος, καὶ Πέτραν καλέσαντος, ἐφ᾽ ἧς ἱδρῦσαι τὴν ἐκκλησίαν φησί. τὸν δέ, καὶ τὰ ἑξῆς.

### Ἔλεγχος.

Ἐν κεφαλαίῳ μὲν οὖν εἰπεῖν, ὁ παραχρώμενος τοῖς ὀρθῶς προβεβλημένοις τῇ θείᾳ γραφῇ, καὶ ἑρμηνείᾳ τῶν διδασκάλων ἀντίδικος, οἷα δὴ πονηρὸς βιάζεται ἐπιδεῖξαι τὴν καθόλου προαίρεσιν, καὶ ὁμόφρονα πρᾶξιν τοῦ πρὸς ἀλλήλους λόγου τῆς ἀρετῆς, καὶ τὸν ὁμογνώμονα βίον τῆς εἰς Χριστὸν πολιτείας, καὶ προσηγορίας ἐμφανίσασθαι ἐναντιούμενον τῇ κοινῇ εὐεργεσίᾳ, καὶ καθόλου ἀγαθότητι τοῦ σωτῆρος. ἔθος γὰρ τῷ σοφιστῇ, καὶ τῆς δικαίας πλάστιγγος παρακρούσῃ τὸ κοινότατον, καὶ καθολικώτατον τῆς ἐκκλησίας ἑδραίωμα,



καὶ στήριγμα ἑαυτῷ παραλογίζεσθαι, καὶ τῆς κοινότητος ἀποσχίσασθαι, καὶ ἰδιάζον τεχνάσασθαι διὰ τῆς κενολογίας. οὕτω Σαβέλλιοι συγχέουσι τὰ πρόσωπα, μὴ διαιροῦντες τὰ διαστολῆς ἄξια. οὕτως Ἀρειανοί, καὶ Μακεδόνιοι μὴ ἑνοῦντες τὰ ἑνώσεως εὔλογα περιποιοῦνται ἑαυτοῖς τοῦ κατάρχειν τῶν αἱρέσεων. οὕτω καὶ Λατινόφρονες σχίζοντες τὴν μίαν ἀδιαίρετον Ἐκκλησίαν, μόνην Νύμφην, μόνην βάσιν, καθόλου μακαρίαν, καθόλου χάριτα, καὶ Πέτραν πίστεως, ἔχουσαν κεφαλὴν τὴν Αὐτοπέτραν τὸν Χριστὸν ἐπαναπαυόμενον, καὶ ἐγκαθεζόμενον ἐν αὐτῇ τῇ υἱοθεσίᾳ τοῦ πνεύματος, τὴν χάριτος, καὶ Σιών, καὶ πέτρας ἐκ τῶν πολυωνύμως αὐτῇ λεγομένων χαριτοποιοῦσαν τοὺς εἰς αὐτὴν πιστεύοντας, καὶ ἐκείνῃ προσκολλωμένους διὰ τῆς ἐπεισαγομένης ἐπικτήτως χάριτος αὐτοῖς συμπολιτεύεσθαι, οὐκ εὐχάριστοι γίνονται τῇ κοινῇ πολιτείᾳ τοῦ παναγίου Πνεύματος συνωραϊζομένῃ τῷ ὡραίῳ κάλλει παρὰ πάντας τοὺς βροτοὺς χρηματίσαντι Χριστῷ ἀλλὰ τὸ ἄσπιλον, καὶ ἀμόλυντον σῶμα βεβήλοις κενοφωνίαις σπιλοῦντες, καίπερ μὴ δυνάμενοι διὰ τὸ αὐτοῦ ἀήττητον, κατὰ τὸν τοῦ Κυρίου λόγον, δικέφαλον ἐπισκευάζονται, καὶ τερατοειδὲς ἀποφῆναι μοχθηρίᾳ σφετερισμοῦ προαιροῦνται. εἰς ἀνατροπὴν δὲ τῆς ἀνακολούθου παραχρήσεως προχειριζέσθω ἡ ἀληθὴς διασάφησις τῆς μαρτυρίας.

Ἰστέον λοιπὸν πρῶτον, ὅτι τὸ ἑδραίωμα, καὶ ὁ θρόνος, καὶ ἡ ἐνίδρυσις, οὐδὲν ἄλλο σημαίνει, ὅτι μήγε τῆς ἐξουσίας προτέρημα, καὶ ὕψωμα, καὶ μεγαλοπρεπὲς αὐτῆς, καθάπερ τοῖς βασιλεῦσι προητοίμασαι καθημένοις ἐπὶ θρόνου ὑψηλοῦ, καὶ ἐπηρμένου, οἷος ὁ ἐλεφάντινος τοῦ Σολομῶντος, οὗ τῇ σοφίᾳ πάντες οἱ τότε βασιλεῖς ὑποτελεσφόροι γεγόνασι, καὶ ταῦτα μὲν κατὰ τὸ γράμμα, κατὰ δὲ τὸ Πνεῦμα, καὶ τὴν ἀλήθειαν πλεῖον Σολομῶντος ὧδε, ἐπειδήπερ διὰ τὴν ἄκραν ταπείνωσιν τοῦ Χριστοῦ ὑπερυψώθη ἡ ἀνθρώπινος φύσις, ἀναβιβασθεῖσα εἰς τοὺς οὐρανοὺς ὥσπερ ἐν θρόνῳ, καὶ πάντες οἱ ὑποτελεσφορήσαντες τῇ τοῦ Χριστοῦ χάριτι συνεθρονίσθησαν, καὶ συνεδοξάσθησαν συντεταγμένως κατὰ τὸ ἀνάλογον τῆς διατάξεως αὐτῶν. διὸ καὶ μὴ μόνον ὁ Αὐτόθρονος ψαλμῳδεῖται κατὰ τό, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἀλλὰ καὶ οἱ κατὰ χάριν θρόνοι εὐαγγελίζονται, ὑμεῖς φησὶ καθίσεσθε ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ, ἐφ᾽ οἷς στερεοῖ, καὶ ἱδρύει ἐξῃρημένως τὴν αὐτοῦ ἐκκλησίαν πρώτως, καὶ κυρίως διὰ τὴν εἰς αὐτὸν ὁμολογίαν, καὶ πίστιν, δευτέρως δὲ καὶ διὰ τῶν κατὰ θέσιν πετρῶν, καὶ θεμελίων τῶν ἱεροκηρύκων Ἀποστόλων.

Ἰστέον β΄. ὅτι πέτρα μὲν ὡς αὐτοπέτρα, καὶ αὐτοστερέωμα, ᾧ δεῖ στερεοῦσθαι, καὶ ἐφ᾽ ᾧ χρεών ἐστι πιστεύειν, καὶ ὁμολογεῖν αὐτὸ εἶναι, ὁ αὐτόλιθος Χριστός ἐστι, ὡς προσεσημείωται, καθάπερ καὶ αὐτομακαριότης καὶ ἔστι, καὶ ὀνομάζεται. πέτρα δὲ πάλιν, δι᾽ ἧς ὀργανικῶς κατὰ θέσιν, καὶ κατὰ χάριν στηρίζεται ἡ ἐκκλησία, οὐχὶ διὰ τὸ πιστεύειν αὐτὴν εἶναι ἐξισουμένην τῇ εἰς Χριστὸν πίστει, ἢ διὰ τὸ ὁμολογεῖν εἰς αὐτὴν τὴν σωτηρίαν, ἀλλ᾽ ὡς δι᾽ αὐτῆς ἐκείνην χαριζομένην, ἐνοικοῦσαν, ἐμπεριπατοῦσαν, καὶ μονὴν σὺν Πατρὶ καὶ Πνεύματι ἐρχομένην, καὶ ποιοῦσαν, διὰ τὴν εἰς αὐτὴν ὁμολογίαν, καὶ σέβας τῇ ἐκείνης συνεργίᾳ πετροῦται, καὶ ὀχυροῦται πᾶσα ψυχὴ πεπιστευκυῖα, καὶ ὁμολογήσασα τὴν καλὴν ὁμολογίαν μακαρίζεται. καὶ οὕτως ἐστὶ μὴ μόνον ὁ μακάριος Πέτρος, ἀλλὰ καὶ πάντες οἱ Ἀπόστολοι. καὶ τοῦτο ἐπιστηρίζεται καὶ λόγῳ, καὶ μαρτυρίᾳ.

Πρῶτον διότι τὰ κοινά, καὶ καθόλου ἀξιώματα, καὶ ἐπίκτητα χαρίσματα, καίπερ

μακαρίου Παύλου, διὸ καὶ πρῶτοι γενόμενοι, καὶ χρηματισθέντες χριστιανοὶ ἐτιμήθη ἡ πόλις αὕτη τῷ πατριαρχείῳ κατ' Οἰκουμένιον, οἷς προενεχειρίσατο τὸν Εὔοδον ὁ μακάριος Πέτρος.

## ΚΕΦΑ'ΛΑΙΟΝ Λϛ'.

### Δεύτερον ἐπιχείρημα.

Ὁ Χριστὸς ἐστὶν ὡς ἀνὴρ κεφαλὴ τῆς ἐκκλησίας, ὁ δὲ μακάριος Πέτρος ἐπίτροπος ὡς ἡ γυνὴ, καὶ μήτηρ ἀριστοκρατοῦσα τῶν τέκνων.

Λύσις.

Ματαία ἡ σύγκρισις, καὶ ἡ παραβολὴ, διότι ὁ Υἱὸς τῆς ἐκκλησίας, καὶ τὸ τέκνον τῆς υἱοθεσίας, καὶ τὸ γέννημα τῆς μητρὸς οὐκ ἔστι μήτηρ, οὐδὲ κεφαλὴ αὐτῆς, ὅτι μὴ διάκονος, καὶ ὑπηρέτης ἐκείνης, ἐπειδήπερ μία ἐστὶν ἡ καθόλου, καὶ κοινὴ τροφὸς τῶν υἱοθετουμένων, καὶ μία βασίλισσα αἰσθητὴ, καὶ νοητὴ τῶν διακόνων αὐτῆς, ὥσπερ καὶ ὁ Χριστὸς πατὴρ, καὶ βασιλεὺς ἀνὴρ αὐτῆς ἁγία ἐκκλησία, ἧς καὶ πέτρος, καὶ πάντες οἱ ἀπόστολοι συνηρμοσμένος ὑποτεταγμένοι εἰσὶν, ὡς παιδία, καὶ διάκονοι αὐτῆς. Εὔσημον τοῦτο γίγνεται ταῖς ἀποστολικαῖς πράξεσιν, ἐφ' αἷς ἐξιστόρηται τοὺς ἁγίους ἀποστόλους ὡς καθόλου ἐκκλησίαν ὄντας πέμπειν Πέτρον, καὶ Ἰωάννην εἰς Σαμάρειαν ἀκηκοότας, ὅτι Σαμαρεῖται τὸν λόγον τοῦ Θεοῦ ἐδέξαντο. ὡσαύτως οἱ ἀπόστολοι, καὶ οἱ πρεσβύτεροι, καὶ οἱ ἀδελφοὶ τοῖς κατὰ τὴν Ἀντιόχειαν, καὶ Συρίαν, καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαίρειν, ἐπιστέλλουσιν εἰς Ἀντιόχειαν σὺν Παύλῳ, καὶ Βαρνάβᾳ ἄνδρας ἐκλεξαμένους ἐξ αὐτῶν ἡγουμένους ἐν τοῖς ἀδελφοῖς Ἰούδαν τὸν ἐπικαλούμενον Βαρσαβᾶν, καὶ Σίλαν.

## ΚΕΦΑ'ΛΑΙΟΝ ΛΖ'.

### Τρίτον ἐπιχείρημα.

Τὸ πλήρωμα τῆς κεφαλῆς διχῇ συνάγεται, ἢ αἰσθητῶς, ἢ νοητῶς. καὶ νοητῶς μὲν πάντες οἱ ἀπόστολοι, καὶ ὁ μακάριος Πέτρος μέλη ὀνομάζονται. αἰσθητῶς δὲ, καὶ κατὰ τὴν φαινομένην διοίκησιν ὁ μακάριος Πέτρος σὺν τῷ χριστῷ, οὐ τῇ δυνάμει οἷος ἔπαρχος τῇ βασιλέως σφραγῖδι ἐπιτροπεύει.

Λύσις.

Σόφισμα ἐκ μέρους τὸ καθόλου διαιροῦν, τὸ μὲν διότι ἐκ τοῦ μέρους συνεκδοχικῶς ἔξεστι συλλογίζεσθαι τὸ καθόλου, ὡς ἐκ τῶν κοράκων τὰ πτηνὰ, οὐ μὲν οὖν ἐκ τοῦ καθόλου περιβάλλειν καθολικώτερον τὸ μέρος, τοῦτο γὰρ περιεχόμενον, ἐκεῖνο δὲ περιεκτικὸν, ὑπόκειται δὲ τὸ μέρος τῷ καθόλου, εἴτε πρὸς συνέχειαν, εἴτε πρὸς κατηγορίαν λεγόμενον, ἐφ' ᾧπερ λαμβάνεται τὸ μέρος. Ἔξεστι τοίνυν δικαιολογεῖσθαι, καὶ συλλογίζεσθαι τὸ κατ' ἴσον τῆς ἀξίας, ὅτι καθάπερ ὁ μακάριος Πέτρος τῇ δυνάμει τοῦ χριστοῦ ᾠκοδόμει τὴν ἐκκλησίαν αὐτοῦ, ὡσαύτως καὶ οἱ σὺν αὐτῷ συναριθμούμενοι ἀπόστολοι, ὡς τὸ, τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος δεδμημένοι οἱ ἀπόστολοι τὴν ἐκκλησίαν χριστοῦ, οὐ μὲν οὖν καθόσον πάντες οἱ ἀπόστολοι, οὕτω καὶ ὁ μακάριος Πέτρος, ἐφ' οἷς καὶ αὐτὸς ἐμπεριείληπται ὡς μέρος τῆς ἀποστολῆς, καὶ ἐν δωδεκατημόριον συμμετρούμενον αὐτοῖς. οὐ γὰρ ὅσον τὸ μῆκος, τὸ πλάτος, καὶ τὸ βάθος, πάντων τῶν ὀργάνων, καὶ διακόνων κεχαριτωμένων τῆς ἐκκλησίας, καὶ τῶν ἀποστόλων, μόνος ἦν, καὶ εἶχε τοσοῦτον ὁ μακάριος Πέτρος εἴτε ἀρετὴν, εἴτε κατόρθωμα, εἷς καὶ μόνος ὢν συναριθμούμενος, συμμετρούμενος, καὶ συνεπιτροπεύων τοῖς λοιποῖς; πᾶσα

γὰρ



γὰρ ἡ ἐκκλησία τῶν ἀποστόλων καὶ αἰσθητῶς, καὶ νοητῶς ἐξίσου ἔλαβε τὴν συνεπιτροπὴν, καὶ συνδιάκονον, καὶ συντρέχουσαν χάριτα εἰς οἰκοδομὴν τῆς ἐκκλησίας παρὰ τοῦ χριστοῦ, ὡς δεικνύει ἡ διέλευσις, καὶ διανέμησις αὐτῶν ἀνὰ τὴν οἰκουμένην διελθοῦσα, καὶ διασπαρεῖσα τὸν σπόρον τῆς πίστεως, περὶ ἧς χρυσόστομος ἐν τῷ κατὰ Ἰωάννην κεφ. κά, ὅτι διαμείβεται τῷ πρὸς τὸν χριστὸν φίλτρῳ τὸν Ἰωάννην γενήσεσθαι ξυνοπαδὸν εἰς τὸν ἐπιποθούμενον θάνατον ἐκείνῳ, λέγων οὕτω μὴ γὰρ δὴ νομίσῃς, φησὶν, ἐγὼ τρόπῳ με τὰ καθ' ὑμᾶς διοικεῖν. τοῦτο δὲ ἐποίει, τῆς ἀκαίρου συμπαθείας τῆς πρὸς ἀλλήλους ἀπάγων αὐτοὺς, ἐπειδὴ γὰρ ἔμελλον τῆς οἰκουμένης τὴν ἐπιτροπὴν ἀναδέξασθαι, οὐκ ἔδει συμπεπλέχθαι λοιπὸν ἀλλήλοις. ἦ γὰρ ἂν μεγάλη τοῦτο τῇ Οἰκουμένῃ γέγονε ζημία. Καὶ ἀλλαχοῦ πάλιν. καθάπερ οἰκίαν μίαν τὴν Οἰκουμένην διανειμάμενοι οἱ ἀπόστολοι, οὕτως ἅπαντα διῳκοῦντο, καὶ τῶν ἁπανταχοῦ ἐπεμελοῦντο. ὡσαύτως ὁ θεῖος Ἀμβρόσιος ἐν τῇ πρὸς κορινθίους κεφ. γ', τοῦτο προσήκει τοῖς ἀποστόλοις, οὓς δῆλόν ἐστι Θεῷ συνεργάζεσθαι, εἰσὶ γὰρ χριστοῦ ἐπίτροποι. τὸ δὲ πάλιν διότι πάντες οἱ ἀπόστολοι ἀμέσως ἔτυχον τοῦ αὐταποστόλου χριστοῦ, καὶ αἰσθητῶς, καὶ νοητῶς, καὶ πάντες ἐξίσου μετέλαβον, καὶ συνενήργησαν τὸν μυστικὸν δεῖπνον παρὰ τοῦ Κυρίου τὸ κεφάλαιον τῆς σωτηρίας ἡμῶν. Καὶ τὰ αὐτὰ κατηνεμήσθησαν (?) τα, καὶ παρακατατεθειμένα αὐτοῖς οὐ παρὰ τοῦ Πέτρου, ἀλλὰ παρὰ τοῦ Κυρίου, ὡσαύτως μετέδωκαν, καὶ παρέθεντο εἰς τὸ τοῦ δεδωκότος ὄνομα κατὰ τὰ πέρατα τῆς οἰκουμένης, αἰσθητῶς μὲν λαμβανόμενα, καὶ φαινόμενα τοῖς ὀργάνοις, πνευματικῶς δὲ χαριζόμενα, καὶ πιστευόμενα αὐτοῖς. καὶ γὰρ ὥσπερ ἡνίκα καθορῶ ἀρχιερέα περιϊστάμενον τῆς ἐκκλησίας, ἔχοντα κατὰ πάντα αἰσθητῶς, καὶ λογικῶς τοῖς λοιποῖς ἀνθρώποις, πρὸς τούτοις νοοῦμαι αὐτὸν εἶναι, καὶ πείθομαι ὡς εἰκόνι ζώσῃ ἐπικεκτημένῃ σφραγῖδα, καὶ χαρακτῆρα τοῦ Χριστοῦ, οὕτω καίπερ πλεῖον τοῦ προβεβλημένου ὡς μὴ ἔχον σύγκρισιν ἐξισουμένην τοῖς αὐτῷ ἀντιπαρατιθεμένοις, ὁπότε μεταλαμβάνω τοῦ ἀχράντου σώματος, καὶ τοῦ τιμίου αἵματος τοῦ χριστοῦ, ἐξαιρουμένων τῶν ἐπιπολαίως φαινομένων διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν συγκεχωρημένων πιστῶς μυσταγωγούμενος, καὶ ὁμολογῶ αἰσθητῶς, καὶ νοητῶς ἀσυμφελίκτως αὐτὸ εἶναι τὸ σταυρωθὲν σῶμα, καὶ φοινιχθὲν αἷμα ἐπὶ σταυροῦ κλώμενον, καὶ ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν τὸ γεννηθὲν ἐκ τῆς ἁγίας Θεοτόκου τέλειον ἐν τῇ θεότητι, καὶ ὁλόκληρον ἐν τῇ ἀνθρωπότητι, καίπερ συγκαταβατικῶς συγχωρεῖται διὰ τὴν ἔθαδα τῆς ἀνθρωπίνης φύσεως ἐν σχήματι ἄρτου, καὶ ποτηρίου.

## ΚΕΦΑ'ΛΑΙΟΝ ΛΗ'.

### Τέταρτον ἐπιχείρημα.

Ὁ διδάσκαλος καὶ αὐτοποιμὴν χριστὸς τῷ Πέτρῳ μόνῳ εἴρηκε, ποίμαινε τὰ πρόβατά μου, διὸ καὶ δικαιολόγημα ἀξίας πλεῖον τῶν συναποστόλων εἶχεν ὁ μακάριος Πέτρος. καὶ γὰρ ἄλλο φησὶν ἐστὶ τὸ διαλέγεσθαι περὶ τοῦ ἀξιώματος, ἄλλο δὲ περὶ τοῦ βίου, καὶ τῆς διδασκαλίας.

Λύσις.

Μᾶλλον δὲ τοὐναντίον τοῖς ἀπεργαζομένοις, καὶ τοῖς κατ' αὐτὸν νοουμένοις τὸ λελογισμένον συλλογίζεται ὁ πόθος, καὶ ἡ ἀγάπη, καὶ δημηγόρος ἐκκλησιαστικὴ διδασκαλία τοῦ μακαρίου Πέτρου θερμοτέρα, καὶ διακαεστέρα συνομολογεῖται εἰς τὴν χριστοῦ ἐπίγνωσιν

κατὰ

μέγαν Βασίλειον λέγοντι, ἐμιμήσατο Πέτρου τὸν ζῆλον, Παύλου τὸν τόνον, τῶν ὀνομασθέντων, καὶ μετονομασθέντων, ἀμφοτέρων τὴν πίστιν, τῶν υἱῶν Ζεβεδαίου τὸ μεγαλόφωνον, πάντων τῶν μαθητῶν τὸ εὐτελές, καὶ ἀπερίττον. οὕτω πάλιν ἐν τῷ εἰς τὸν μέγαν Ἀθανάσιον διεξιόντι. ταῦτα Παῦλος, καὶ εἴτις κατ᾽ ἐκεῖνον τῷ πνεύματι, Παῦλος, καὶ Πέτρος τὸ σύντονον τοῦ κηρύγματος. Ἀπελήλαται γὰρ πᾶς τύφος προεδρίας, καὶ κενοδοξίας καὶ προθέσεως ἀλόγου παρὰ τοῖς ἁγίοις θεμελιουμένοις ἐπὶ τὴν κρηπῖδα, καὶ βάσιν τῆς ἀρετῆς τῆς ταπεινοφροσύνης.

## ΚΕΦΑ'ΛΑΙΟΝ ΜΒ'.

### Ὄγδοον Ἐπιχείρημα.

Ἡ θεία γραφὴ ἐξιστορεῖται περὶ τοῦ μακαρίου Πέτρου ὡσανεὶ περί τινος ἄρχοντος, καὶ βασιλέως, περὶ δὲ τῶν λοιπῶν ἀποστόλων ὡς περὶ ὑποτασσομένων ὑπηκόων.

### Λύσις.

Μὴ γένοιτό ποτε ἡμᾶς τοὺς τοῦ Χριστοῦ αἰχμαλώτους ἀκοῦσαι τοῦτο, καὶ μεμαθηκότας παρὰ τῆς θείας γραφῆς ἐξωθούσης τὴν τυραννικὴν ἀρχήν, καὶ διδασκούσης τὴν ἰσοτιμίαν τῆς ἀδελφότητος. ἐπειδήπερ ὁ ψαλμῳδὸς προφητεύει, βασιλικῶς κοινῇ λέγων, καταστήσῃς αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. καὶ δώδεκα θρόνους ὄντας σύμβολον ἀρχῆς, καὶ ἐξουσίας κατ᾽ Ἀρέθαν εἰς τὴν Ἰωάννου ἀποκάλυψιν ἀκούομεν ἐν εὐαγγελίοις καθυπισχνουμένους τοῖς αὐτόπταις τοῦ λόγου παρὰ τοῦ Κυρίου αὐτῶν. ὁμοίως θεμελίους, καὶ λίθους δώδεκα ἰσαρίθμους τοῖς ἀποστόλοις ἀποκαλύπτεται ὁ θεατὴς τῶν ἀρρήτων ἀποκαλύψεων Ἰωάννης, οὗ ὁ συνώνυμος κῆρυξ τῆς μετανοίας συνωπάτους, καὶ συμβασιλεύοντας ἀποδείκνυσιν ἐξίσου πάντας τοὺς ἀποστόλους γεγονέναι εἰς τὸν λόγον, ὅτι πᾶσα γραφὴ θεόπνευστος χρήσιμός ἐστι πρὸς διδασκαλίαν, πρὸς ἐπανόρθωσιν, καὶ τὰ ἑξῆς. καὶ προϊὼν ὁ λόγος κατὰ τὸν αὐτὸν σαφέστερον ἐπεξεργάσεται.

## ΚΕΦΑ'ΛΑΙΟΝ ΜΓ'.

### Ἔνατον ἐπιχείρημα.

Στόμα ἦν τῶν ἀποστόλων, καὶ ἔγκριτος αὐτῶν, ὥσπερ τις πρόμαχος.

### Λύσις.

Ὁμολογοῦμεν ὡς συστρατιώτης, καὶ συνταξιάρχης, καὶ τιμοκρατορικὸς ταξιαρχεύων, συναριθμούμενος τοῖς συμμαχοῦσιν αὐτῷ, καὶ συνταξιαρχεύουσι, καὶ συνεκστοματίζουσι, τὰ θεῖα ῥήματα οὐχ ὡς ἀναλογούμενος κατὰ πρῶτον, καὶ δεύτερον τάγμα παράλληλον, καὶ ὑπάλληλον, ἢ ὡς στρατηγὸς ἐπὶ τὸν στρατὸν ἔχων σχέσιν, ἢ ὡς φέρων μόνος τὴν τοῦ σταυροῦ σημαίαν, οἱ δὲ ἄλλοι τοῦ χαρακτῆρος τοῦ κοινοτάτου ἀνεπίσημοι. θερμότερος γὰρ ὢν τῶν ἄλλων συστρατιωτῶν προπηδᾷ κατὰ τῆς φάλαγγος τῶν ἀντικειμένων λόγῳ τιμοκρατείας, οὐκ ἀριστοκρατείας, ἢ βασιλείας τῶν συστρατευομένων. ἔστι δ᾽ ὅπου καὶ σωφρονίζεται ἐπιτιμώμενος, καὶ ἀντιλέγων, διὸ καὶ νεύει προβαλλόμενος Ἰωάννην τὸν ἐπιστήθιον εἰς μάθησιν, καὶ ἐρώτησιν τοῦ διδασκάλου, ἐφ᾽ οὗ τὸ στῆθος ἀναπεσόντα ἐγνωρίσθη ὁ ἀνεξίκακος, καὶ ἀπηλέγχθη ὁ παμπόνηρος, ᾧ καὶ διαμείβεται τὴν φιλίαν κατὰ Χρυσόστομον μετὰ τὴν ἀνάστασιν, καὶ τελείαν αὐτοῦ τοῦ παραπτώματος ἐπανόρθωσιν, λέγων τῷ διδασκάλῳ





οὗτος δὲ τί; ὑπέρτιμοι γάρ, καὶ ἔξαρχοι πάσης τῆς οἰκουμένης ἰσάριθμοι οἱ ἀπόστολοι, καὶ πανταχοῦ κήρυκες, καὶ σάλπιγγες μὴ μόνον ἀλλήλων διὰ τὴν ἀδελφικὴν φιλότητα, καὶ τὸ γνώρισμα τῆς εἰς Χριστὸν μαθήσεως, καὶ αὐτοῦ ἀπομιμήσεως, ἀλλὰ τὸ πλεῖστον τοῦ ἐν αὐτοῖς λαλοῦντος Χριστοῦ διὰ τὴν ἐν αὐτοῖς βροντόφωνον φωνήν, καὶ τὸν ἦχον τοῦ πνεύματος. τούτων δὲ προέξαρχος ὡς θερμότερος κατὰ συναρίθμησιν, καὶ μὴ κατὰ ἀναλογίαν, ὡς πρῶτος τῆς ἐξαρχίας αὐτῶν ὁ μακάριος Πέτρος. ἀμέλει οὐχ οἷον λόγον ἔχει ὁ πατριάρχης πρὸς τοὺς ὑφ᾽ αὐτὸν μητροπολίτας, καὶ ἐπισκόπους, ἀλλ᾽ ὡς ἔχει πατριάρχης πρὸς πατριάρχην, εἴτουν ὁ Ῥώμης πρὸς τὸν Κωνσταντινουπόλεως, ἢ ὁ Καισαρείας Καππαδοκίας πρὸς τὸν Ἐφέσου, οὗτος δὲ πρὸς τὸν Ἡρακλείας, καὶ ἐφεξῆς συναριθμούμενοι, καὶ συμμετρούμενοι τῷ αὐτῷ κανόνι τῆς συντάξεως. καὶ τοὺς γεραιτέρους προϊσταμένους λόγῳ τοῦ συντάγματος ἐκστοματίζειν καλῶς τὰ ἐν ἑνὶ φρονήματι τοῦ πνεύματος συμβουλευθέντα ὑπὲρ πάντων. ἔστι δ᾽ ὅπου ἐνίοτε πρὸς τοῖς λόγοις ἀφορᾶται μὴ μόνον ὁ λόγος τῆς προστασίας, καὶ τῆς προσταγῆς, ἀλλὰ καὶ ἡ ζέσις τοῦ πνεύματος, καὶ ἡ ἀγχίνοια τῆς γνώσεως, καὶ τῆς θεοσόφου διδασκαλίας ὁ ἀναγνωρισμός, καὶ θεία παίδευσις, καὶ γὰρ ἐν τῇ Φλωρεντίᾳ συνόδῳ κατεστάθη ἔξαρχος ὑπὲρ πάσης τῆς ὀρθοδοξίας τοῦ λόγου κατὰ τῶν κακοδόξως ἐπιφερομένων ἀντιρρήσεων τῆς λατινόφρονος δοκισεισοφίας ὁ ἁγιώτατος Ἐφέσου ὕφεδρος τῷ Καισαρείας τῆς Καππαδοκίας, καὶ ὁ ἀποστατήσας Βησσαρίων Νικαίας ἕβδομος θρόνος τῆς συναριθμήσεως, καὶ συντάξεως τῶν ἐξάρχων, καὶ ὑπερτίμων ἀρχιερέων ὑπὲρ πάσης τῆς ἐκκλησίας, καὶ τῶν βασιλέων, καὶ τῶν πατριαρχῶν ὑπεραπολογούμενοι, μᾶλλον δὲ ὑπὲρ αὐτοῦ τοῦ Χριστοῦ, καὶ τῶν ἀποστόλων. μέντοιγε οὔτε τῶν πατριαρχῶν, ἢ βασιλέων, ἢ τῆς ἐκκλησίας, ἢ τῶν προαριθμουμένων ἀρχιερέων αὐτῶν, ἢ τοῦ Χριστοῦ, ἢ τῶν ἀποστόλων κρείσσονες οἱ τὰ αὐτῶν διεκδικοῦντες, ἀλλ᾽ ἐν τοῖς ἰδίοις θρόνοις, καὶ τοποθεσίαις πάλιν ἵσταντο, καὶ ἐστηρίζοντο. διόπερ εὑρήσεις συνεχῶς ἀναγινώσκων τὸν θεῖον Χρυσόστομον, καὶ τὸν μέγαν Βασίλειον ἐν τοῖς εἰς τὸν μακάριον Παῦλον λέγοντας αὐτὸν εἶναι στόμα Χριστοῦ, ὅπερ ὑπερβαίνει τὸ εἶναι στόμα τῶν ἀποστόλων. ὡσαύτως καὶ τοὺς λοιποὺς ἀποστόλους, καὶ ἁγίους ἀρχιερεῖς ἐν τοῖς μηνολογίοις.

## ΚΕΦΑ'ΛΑΙΝΟ ΜΔ'.

### Δέκατον ἐπιχείρημα.

Ὅτι μόνῳ τῷ μακαρίῳ Πέτρῳ γέγονεν ἡ πρώτη ἀποκάλυψις τῆς θεότητος, καὶ ὁμολογίας τῆς εἰς Χριστὸν ἀνὰ τοὺς ἀποστόλους.

### Λύσις.

Ἀνεπακολούθητόν ἐστι πρωτεύειν καὶ τῇ χάριτι, καὶ ἐξουσίᾳ τοῦ πνεύματος, καὶ τῆς ἀποστολῆς, ὅτι μήγε τῇ κατ᾽ αὐτὸν ἐπεγνωσμένῃ γνώσει καὶ ἀποκαλυφθείσῃ θεωρίᾳ. μία γὰρ ἡ χάρις, καὶ μία τῆς ἀποστολικῆς σφραγῖδος ἡ ἐξουσία, ἓν τὸ βάπτισμα, μία ἡ πίστις, καὶ ἡ ἀνακαίνισις εἴς τε τὰ ἔθνη, καὶ τοὺς ἰουδαίους. Ἰουδαίῳ τε πρῶτον καὶ ἕλληνι δόξα παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν φησιν ὁ μακάριος Παῦλος γράφων πρὸς Ῥωμαίους, οὐχ ὅτι πρωτεύουσι τῇ ἀξίᾳ, τῇ χάριτι, καὶ τῷ βαπτίσματι, ἀλλ᾽ ὅτι πρώτως ταύτην ἐδέξαντο σφραγισθέντες, καὶ ἀκηκοότες τὸν λόγον τοῦ Θεοῦ, μέντοιγε μὴ διὰ τοῦτο ἐλάττονες οἱ ἐπιόντες ἐκλελεγμένοι τῶν ἐθνῶν. Ἀπροσωπόληπτος γάρ ἐστιν ὁ Θεός, φῶς φωτίζον φαεινότατον πάσῃ τῇ οἰκουμένῃ, καὶ

θυμία αὐτοῦ ἡ ἀνεξείκαστος, ὧν γέγονα ὑπόδειγμα μετανοησάμενος, καὶ πλέον οὐκ ἔσομαι τολμητίας, καὶ ἀπότομος τοῖς ἁμαρτάνουσι κατὰ χρυσόστομον ἐν τοῖς εἰς τὸν Πέτρον, καὶ τὸν Ἡλίαν, δι᾽ ἣν μεταμέλειαν ὁστισοῦν ἁμαρτωλὸς, καὶ ἀσεβὴς προσερχόμενος τῷ θυσιαστηρίῳ τοῦ ἐλέους συνοικοδομεῖ τοῖς λοιποῖς μέλεσι τὴν ἐκκλησίαν προσηλυθεὶς τῷ λουτρῷ τῶν δακρύων, καὶ ἐνεργῶν τὸ συμπληρωτικὸν τῶν μυστηρίων μυσταγώγημα ἕβδομον τῆς ἐκκλησίας, ὡς καὶ ὁ μακάριος Παῦλος πάλαι μὲν καταλύτης εὐσεβείας, ὕστερον δὲ οἰκοδόμος, καὶ ἀρχιτέκτων τῆς ἐκκλησίας τῇ ἐπιστροφῇ τῆς μεταμελείας,

## ΚΕΦΑ'ΛΑΙΟΝ Μϛ'.

### Δωδέκατον ἐπιχείρημα.

Ὁ Χριστὸς ὑπὲρ μόνου τοῦ Πέτρου, καὶ ἑαυτοῦ ἠθέλησεν ἐν τῇ Καπερναοὺμ δασμοφορῆσαι τοῖς λαμβάνουσι τὰ δίδραχμα. Λύσις

Τοῦτο οὐκ ἐξουσία, καὶ αὐθεντία τοῦ μακαρίου πέτρου ἐστὶ πρὸς τοὺς ἀποστόλους, ἀλλὰ πρῶτος δοκῶν εἶναι τῶν μαθητῶν ὁ μακάριος Πέτρος προσέρχονται αὐτῷ οἱ τὰ δίδραχμα λαμβάνοντες μετ᾽ ἐπιεικείας ἐρωτῶντες αὐτὸν, εἰ ὁ διδάσκαλος ὑμῶν τελεῖ τὰ δίδραχμα, ἅπερ ἦσαν φόρος διδόμενος παρὰ τῶν πρωτοτόκων, ὅνπερ ἐκέλευσε τῷ Πέτρῳ ἀποδοῦναι ὁ χριστὸς ὑπὲρ ἑαυτοῦ, καὶ ἐκείνου, πρωτοτόκου κἀκείνου ὄντος κατὰ χρυσόστομον συναφθέντος τῷ Χριστῷ κατὰ τὴν τοῦ φόρου δόσιν, οὐ τόσον διὰ τὸ εἶναι πρωτότοκον, ὅσον διὰ τὴν πίστιν αὐτοῦ τυγχάνουσαν τὸ τέλος, καὶ ὁ ἐποφειλόμενος ἡμῖν φόρος τῷ Χριστῷ διὰ τῆς εἰς αὐτὸν ὑποταγῆς, ὑπακηκοότος πράγματι ἀπόρῳ τοσαύτης ἁλείας. διὸ φησιν ὁ ἱερὸς Χρυσόστομος κεφ, ιή. ἐν τῷ κατὰ Ματθαῖον. ἀντὶ ἐμοῦ δὲ, καὶ σοῦ εἶπεν, ἐπειδὴ καὶ αὐτὸς πρωτότοκος ἦν (ἀμέλει ὁ μακάριος Πέτρος) ὥσπερ δὲ ἐξεπλάγης τοῦ Χριστοῦ τὴν δύναμιν, οὕτω θαύμασον καὶ τοῦ μαθητοῦ τὴν πίστιν, ὅτι πράγματι ἀπόρῳ οὕτως ὑπήκουσε, καὶ γὰρ σφόδρα ἦν ἄπορον κατὰ τὴν φύσιν, διὸ καὶ τῆς πίστεως αὐτὸν ἀμειβόμενος συνῆψεν ἑαυτῷ κατὰ τὴν τοῦ φόρου δόσιν, τῇ γὰρ πίστει, καὶ προθυμοτέρᾳ ὑπακοῇ, καὶ φίλτρῳ διακαεστέρῳ τὸν μακάριον πέτρον διαθέμενον εἶναι, καὶ προκρίνεσθαι τῶν ἄλλων, καὶ μὴ μόνον αὐτὸν, ἀλλὰ καὶ ἕκαστον τῇ σπουδῇ φανέντα τοιοῦτον, καὶ πλείονα ἐσόμενον ἐνδέχεσθαι, ὁμολογοῦμεν. τῷ δὲ χαρακτῆρι τῆς μιᾶς ἀξίας τῆς ἀποστολῆς κατὰ πάντα συνεξισούμενον τοῖς λοιποῖς ἀδελφοῖς τῇ μιᾷ σφραγῖδι συσφραγιζόμενον. οὕτω καὶ ὁ μακάριος Παῦλος ἰσότιμος ὢν τῇ ἀποστολῇ καίπερ ἔσχατος τῶν πρὸ αὐτοῦ ἀποστόλων κέκληται εἰς τὸ ἔργον τοῦ εὐαγγελίου, ἀλλὰ τῷ πλεονεκτήματι τῆς ταπεινοφροσύνης, καὶ τῷ ὑπερακοντίσματι τῆς εἰς χριστὸν ὑπακοῆς οὐχ ἡλιεύσατο μόνον ἰχθὺν εἰς δασμοφορίαν, καὶ συνανέβη εἰς τὸ Θαβώριον ὄρος κατιδεῖν ὡς εἶχε τὸ χωρητὸν τὴν τοῦ Κυρίου δόξαν, ἀλλὰ ζωγρήσας τὸν κόσμον ἐκ τῆς ἀγνοίας ἐδασμοφόρησε τὴν οἰκουμένην τῇ θεογνωσίᾳ, καὶ προπεφθακὼς ἐγεγόνει κατ᾽ αὐτὴν τὴν κορωνίδα, καὶ ὀροφεργίαν τῶν οὐρανίων ἁψίδων, ὅπου ἀκηκοὼς ἔτυχεν ἄρρητα ῥήματα μὴ ἐξόντα λαληθῆναι τοῖς ἀνθρώποις. ταπείνωσις γὰρ μετ᾽ ἐπιτεταμένης τῆς θεοπρεποῦς ἀγάπης, καὶ οὐχὶ ἔπαρσις μετὰ μοχθηρᾶς προαιρέσεως ἐστὶ τὸ θεμέλιον, καὶ ὁ στέφανος τῶν ἀρετῶν, καὶ ἡ σὺν

Χριστῷ



Χριστῷ δασμοφορία, διὸ γνωρίσαντες οἱ συμμαθηταὶ τὴν προτίμησιν τοῦ κορυφαίου διὰ τὴν πίστιν αὐτοῦ καὶ ὑπακοὴν ἐν ἐκείνῃ τῇ ὥρᾳ προσέπαθόν τι ἀνθρώπινον. καὶ προσῆλθον τῷ Ἰησοῦ οἱ μαθηταὶ αὐτοῦ λέγοντες τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἐφ᾽ ᾧ σημαίνων ἑρμηνεύει ὁ ἱερὸς χρυσόστομος οὕτως, ὑμεῖς μὲν γάρ φησιν ἐξετάζετε τίς μείζων, καὶ περὶ πρωτείων φιλονεικεῖτε, ἐγὼ δὲ τὸν μὴ πάντων ταπεινότερον γενόμενον, οὐδὲ τῆς εἰσόδου τῆς ἐκεῖ ἄξιον εἶναί φημι. καὶ καλῶς τὸ ὑπόδειγμα παράγει, καὶ οὐ παράγει μόνον, ἀλλὰ καὶ τὸ παιδίον εἰς τὸ μέσον ἵστησι, καὶ ἀπὸ τῆς ὄψεως αὐτῆς ἐντρέπων, καὶ πείθων εἶναι ταπεινοὺς οὕτω καὶ ἀπλάστους, καὶ γὰρ φθόνου καθαρὸν τὸ παιδίον, καὶ κενοδοξίας, καὶ τοῦ τῶν πρωτείων ἐρᾶν, καὶ τὴν μεγίστην κέκτηται ἀρετὴν, τὴν ἀφέλειαν καὶ τὸ ἄπλαστον, καὶ τὸ ταπεινὸν οὐκ ἄρα ἀνδρείας δεῖ μόνον, οὐδὲ φρονήσεως, ἀλλὰ καὶ ταύτης τῆς ἀρετῆς, τῆς ταπεινοφροσύνης λέγω, καὶ τῆς ἀφελείας, καὶ γὰρ ἐν τοῖς μεγίστοις χωλεύει τὰ τῆς σωτηρίας ἡμῶν, τούτων ἡμῖν οὐ παρόντων. πρὸς τούτοις ὁ στατὴρ ἐκεῖνος δασμοφορηθεὶς, ἐπέχων τιμὴν δύο διδράχμων, ἰχθύς τε ἀγκιστρευθεὶς, καὶ ὁ πεμφθεὶς ἁλιεῦσαι αὐτὸν ἀλληγορούμενος σημαίνει τὰς δύο φύσεις τοῦ χριστοῦ, ἃς βαστάζει ἐν τῷ στόματι ἡ ἀνθρώπινος φύσις, ἐν τῷ πιστεύειν, καὶ ὁμολογεῖν αὐτὸν τὸν χριστὸν εἶναι τέλειον θεὸν, καὶ τέλειον ἄνθρωπον ἁλιευθεῖσα παρὰ τοῦ ἀποστολικοῦ λόγου εἰς ζωάγρειαν, καὶ σωτηρίαν τοῦ δεδωκότος ἑαυτὸν ἀντίλυτρον ὑπὲρ παντὸς τοῦ κόσμου, καὶ ἰουδαίων, καὶ ἐθνῶν. ὃν μὴ μόνον ὁ μακάριος Πέτρος, καίπερ πρῶτος τῶν μαθητῶν δοκεῖ εἶναι, ἐξυπηρετήσατο, ἀλλὰ πάντες ὁμοθυμαδὸν ἐν ἑνὶ φρονήματι τοῦ πνεύματος οἱ πιστεύοντες, καὶ ὁμολογοῦντες αὐτὸν Θεὸν, καὶ ἄνθρωπον, ἐκ μέρους ἐπισυναγόμενοι τὸ καθόλου. περὶ ὧν διεξοδικώτερον Θεοφύλακτος ὁ Βουλγαρείας εἰς τὸ κατὰ Ματθαῖον.

## ΚΕΦΑ'ΛΑΙΝΟ ΜΖ'.

### Δέκατον τρίτον ἐπιχείρημα.

Ὁ μακάριος Πέτρος ἰδίᾳ αὐθεντίᾳ συνεκάλεσε τοὺς ἄλλους ἀποστόλους ἐπὶ τὴν ἐκλογὴν τοῦ ἀποστόλου ἀντὶ Ἰούδα τοῦ προδότου, καὶ ἰσκαριώτου. Λύσις.

Ἡ ἀλήθεια, καὶ Οἰκουμένιος σὺν αὐταῖς ταῖς πράξεσιν οὐκ ἀρχικῶς, καὶ ἐξουσιαστικῶς κατὰ τὸ ἰδιοβούλητον τοῦ μακαρίου Πέτρου, ὡς φαντάζεται πάππας τελεσιουργεῖσθαι τὰ μυστήρια, ἀλλ᾽ ὡς ὑπήκοος τῷ θείῳ βουλήματι, καὶ κινούμενος ὑπὸ τοῦ τελεταρχικοῦ πνεύματος μετὰ κοινῆς γνώμης συνδημηγορεῖ τὰ ὑποφητευθέντα τῷ παναγίῳ πνεύματι, καὶ ἀνιστάμενος προτίθησι τοῖς ἀδελφοῖς τὴν διὰ στόματος Δαβὶδ ῥηθεῖσαν προῤῥησιν. ὅρα φησὶν Οἰκουμένιος πάντα μετὰ κοινῆς αὐτὸν γνώμης ποιοῦντα, καὶ οὐκ ἀρχικῶς, οὐδὲ μετ᾽ ἐξουσίας. ἀνίσταται δὲ Πέτρος, οὐχ ὁ Ἰάκωβος, καὶ ὡς θερμότερος, καὶ ὡς τὴν προστασίαν τῶν μαθητῶν ἐγκεχειρισμένος. ἄλλως τε καὶ ἐπιεικὴς ἦν ὁ Ἰάκωβος, καὶ μᾶλλον τῇ προσευχῇ, καὶ τῇ ἡσυχίᾳ ὠφέλιμος τῶν ἄλλων δηλονότι μεταχειριζόντων τὸ πρᾶγμα, τί φησιν ἀνιστάμενος, ἄνδρες ἀδελφοὶ ἔδει πληρωθῆναι τὴν γραφὴν, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον ὁρᾷς πῶς καλεῖ ἀδελφοὺς αὐτοὺς, καὶ οὐχὶ δούλους, ἢ μαθητὰς, ἢ τέκνα ἐξουσιαστικῶς, καὶ αὐθεντικῶς, καὶ πῶς οὐ τὸ ἰδιοβούλητον αὐτοῦ πληρωθῆναί φησιν, ἀλλὰ τὸ τῆς γραφῆς, ὁ φιλοστοργότατος, συμπρεσβύτερος τοὺς πρεσβυτέρους, ὁ πρᾳότατος τοὺς

συντα-

συντεταπεινωμένους ἐφ' ἑνὶ πληρώματι τῆς θεοπνεύστου γραφῆς, καὶ μιᾷ ἐκλογῇ τοῦ θείου Πνεύματος διὰ τῆς αὐτῶν προσευχῆς, καὶ μὴ ἰδίας βουλήσεως λέγων, σὺ Κύριε καρδιογνῶστα ἀνάδειξον ἕνα ἐκ τῶν δύο τούτων, ὃν ἐξελέξω. ὅστις τοσοῦτον ταπεινοῦται, ὥστε καὶ τὴν δημηγορίαν ποιῶν περὶ Ἰούδα ἐπιεικῶς, καὶ ἀφιλαπεχθημόνως μεταχειρίζεται, ἁπλῶς τὸ γεγενημένον δηλῶν, καὶ μὴ ὀνειδίζων αὐτὸν ὡς κατάρατον, ἢ μιαρὸν, μᾶλλον δὲ οὐκ ἐπαισχύνεται αὐτὸν λέγειν συγκατηριθμημένον γεγονέναι ἡμῖν, καὶ λελαχότα τὸν κλῆρον τῆς διακονίας ταύτης, ὡς γεγονότα ἔρημον τῷ γεγονέναι ὁδηγὸν τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν, τὴν ἐπισκοπὴν αὐτοῦ λήψοιτο ἕτερος. δεῖ οὖν συνελθόντων ἡμῶν ἀνδρῶν ἐν παντὶ χρόνῳ, καὶ τὰ ἑξῆς.

## ΚΕΦΑ'ΛΑΙΟΝ ΜΗ'.

Δέκατον τέταρτον ἐπιχείρημα.

Πρῶτος ἐξεφώνησε κηρύξας τὸ εὐαγγέλιον τοῖς Ἰουδαίοις μετὰ τὴν ἐπ' αὐτοὺς κάθοδον τοῦ παναγίου Πνεύματος.

Λύσις

Κοινὴ ἡ παῤῥησία. καθάπερ καὶ ἡ ἔνδειξις τῆς κηδεμονίας καὶ τὴν προσοχὴν τοῦ συγκαταψηφισθέντος αὐτοῖς. διό φησιν ἡ πρᾶξις, σταθεὶς δὲ ὁ Πέτρος σὺν τοῖς ἕνδεκα, δηλῶν κατ' Οἰκουμένιον, ὅτι κοινὴ γνώμη, καὶ μιᾷ φωνῇ πάντων, αὐτὸς ἦν στόμα. μάρτυρες δὲ παρειστήκεισαν, οἱ ἕνδεκα ἐπὶ τοῖς λεγομένοις αὐτοῦ, ὡς συνεκφωνοῦντες, καὶ συναποδεχόμενοι ἐπὶ τῷ εὖ λέγοντι καθάπερ συνήγοροί τινες δώδεκα, ἐπί τινος βασιλείας τυχὸν, ἢ ἀριστοκρατείας, ἢ δημοκρατείας, ἢ τιμαρχίας ἔχοντες τὴν αὐτὴν γνώμην, καὶ βουλὴν, καὶ τέλος, εἷς ὑπὲρ πάντων δημηγορεῖ, καὶ φθέγγεται, ὡς κοινὸν στόμα, ὁ προθυμότερος εἰς τὸ λέγειν, ὡς ἐπὶ τὸ πλεῖστον προτιθέμενος, ἢ ὁ συμβουλευτικώτερος. ὁ ἀπεριεσκεπτότερος, ἢ ὁ ἐσκεμμενέστερος.

## ΚΕΦΑ'ΛΑΙΟΝ ΜΘ'.

Δέκατον πέμπτον, ἐπιχείρημα.

Πρῶτος ἐθαυματούργησε τοῖς Ἰουδαίοις ἰασάμενος τὸν ἐκ κοιλίας μητρὸς χωλόν.

Λύσις.

Καὶ τοῦτο τὸ ἐπιχείρημα τῇ πράξει οὐκ ἀληθεύει, διότι σὺν ἦν τῷ Πέτρῳ Ἰωάννης συνευδοκῶν, καὶ συμπράττων τῷ σκοπῷ, καὶ τῇ διανοίᾳ, καίπερ μὴ τῇ ἐκφωνήσει τῶν ῥημάτων, ὡς χειρουργοί τινες ἕλκος τινὸς θεραπεύοντες, καίπερ εἷς καὶ μόνος τέμνει, καὶ καθαίρει, καὶ καίει τὰ σεσηπότα τοῦ τραύματος. διό φησιν ἡ πρᾶξις, ἀτενίσας δὲ ὁ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ εἶπε, βλέψον εἰς ἡμᾶς. ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν. εἶπε δὲ Πέτρος ὡς ἐγκεχειρισμένος τὴν προστασίαν τῆς δημηγορίας τῶν ἀποστόλων. περὶ οὗ ἀνάγνωθι Οἰκουμένιον ἐνδεικνύοντα κοινὴν τὴν θεραπείαν.

## ΚΕΦΑ'ΛΑΙΟΝ Ν'

Δέκατον ἕκτον ἐπιχείρημα.

Πρῶτος ὁ μακάριος πέτρος ἐκήρυξε τὸ εὐαγγέλιον τοῖς ἔθνεσι τοῖς περὶ Κορνήλιον, ὧ καὶ προ-



προσήχθη ἡ περίκλησις τῶν ἐθνῶν ὅρασις.

Λύσις.

Ὅτι μὲν θερμότερος τῶν ἄλλων, καὶ προβαλλόμενος ἐν τοῖς κινδύνοις ἦτο ὁ μακάριος Πέτρος ζέων τῇ πρὸς τὸν Χριστὸν ἀγάπῃ, καὶ ὅτι ἀπεκαλύφθη αὐτῷ ἡ ὅρασις καὶ κλῆσις τῶν ἐθνῶν, ὁμολογοῦμεν, τὸ δὲ αὐτὸν πρῶτον κηρύξαι τὸ εὐαγγέλιον τοῖς ἔθνεσι τῶν λοιπῶν ἀποστόλων οὐ σημαίνει αὐθεντίαν. ἐνεπιστεύθησαν γὰρ τὰ ἔθνη μᾶλλον τῷ μακαρίῳ Παύλῳ ὡς φαίνεται ἐκ τῶν πράξεων, μεταστραφέντι διελθεῖν τὴν Δαμασκὸν, καὶ Ἀραβίαν, καὶ ἄλλας χώρας, μαθητεῦσαί τε, καὶ προσκολληθῆναι αὐτῷ μαθητὰς γεγονότας πρώτους εἴτε ἐξ ἐθνῶν, εἴτε ἐξ Ἰουδαίων, οὐ τοσοῦτον εὔδηλον, εὐσημότερον δὲ ἐκ τῶν ἐθνῶν, ὡς καταδιωκομένῳ, καὶ ἐπιζητουμένῳ ἀναιρεθῆναι παρὰ τῶν ἐν Δαμασκῷ Ἰουδαίων, καὶ τοῦτο γεγονέναι πρὸ τοῦ ὀφθῆναι τὴν περὶ κλήσεως τῶν ἐθνῶν ὅρασιν τῷ μακαρίῳ Πέτρῳ, ὥ κατόπιν εἰ καὶ οἱ ἄλλοι ἀπόστολοι ἐκήρυξαν τοῖς ἔθνεσιν, οὐκ ἐπακολουθεῖ διὰ τοῦτο τὸν μακάριον Πέτρον εἶναι ἐξουσιαστὴν, καὶ αὐθέντην τῆς συμμαθητιώσης αὐτῷ χορείας τῶν ἀποστόλων, καὶ συνευαγγελιζομένης τὰ ἔθνη, καὶ τοὺς Ἰουδαίους, ἀλλ' ἐφ' ἕνα σκοπὸν ὁμόφρονα τοῦ ἑνὸς πνεύματος συνέρχεσθαι εἴτε εἰς τὰ ἔθνη, εἴτε εἰς τοὺς Ἰουδαίους κηρύσσοντες. ἀπροσωπόληπτος γάρ ἐστιν ὁ θεὸς ἐφ' ἑκάτερα, καίπερ θάτερον πρωτεύει τῷ χρόνῳ, καὶ τῷ καιρῷ τῆς θεογνωσίας, οὐ μὲν οὖν τῇ χάριτι, καὶ τῇ ἀχρόνῳ ἐξουσίᾳ τοῦ Πνεύματος. Καθάπερ καὶ οἱ ἐπὶ τούτοις κορυφαῖοι ἐνεργηθέντες, καὶ ἀφορισθέντες τῆς αὐτῆς εἰσὶν ἀξίας, καὶ ἐνεργείας, καίπερ ὁ μὲν προείληφε τὸν χρόνον, ὁ δὲ μεταγενέστερος ἐχρημάτισε τῷ Χριστῷ μακάριος Παῦλος λέγων τοῖς Γαλάταις οὕτως, ἰδόντες, ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς, ὁ μὲν Πέτρος τοὺς Ἰουδαίους, αὐτὸς δὲ τὰ ἔθνη ἐκ τῶν γνωρισμάτων διαστέλλων αὐτοὺς, καὶ μὴ ἐκ τῶν πραγμάτων, ἐφ' οἷς συνάγει τὴν ἐνεργήσασαν, καὶ συντρέχουσαν αὐτοῖς χάριτα, ἧ ὑποτεταγμένοι γεγόνασιν ἐνεργοῦντες, καὶ μὴ τῇ καθ' αὑτοὺς βουλήσει χαριτοῦντες λέγων, ὁ ἐνεργήσας Πέτρῳ γὰρ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. ὅπου φησὶν ὁ θεῖος Χρυσόστομος ἑρμηνεύομενος οὕτως. ὥσπερ οὖν τὴν ἀκροβυστίαν τὰ ἔθνη καλεῖ, οὕτω καὶ περιτομὴν Ἰουδαίους, καὶ δείκνυσιν αὐτοῖς ὁμότιμον ὄντα λοιπὸν, καὶ οὐ τοῖς ἄλλοις ἑαυτὸν, ἀλλὰ τῷ κορυφαίῳ συγκρίνει, δεικνὺς ὅτι τῆς αὐτῆς ἕκαστος ἀπήλαυσεν ἀξίας. Ἐπειδὴ γὰρ τὴν περὶ τῆς ὁμονοίας αὐτῶν κατεσκεύασεν ἀπόδειξιν, θαῤῥῶν λοιπὸν μετὰ παῤῥησίας διαλέγεται, καὶ οὐκ ἔτι ἵσταται μέχρι τῶν ἀποστόλων μόνον, ἀλλ' ἐπὶ τὸν Χριστὸν ἀνάγει τὸν λόγον, καὶ τὴν ὑπ' ἐκείνου χάριν δοθεῖσαν αὐτῷ, καὶ μάρτυρας τούτων τοὺς ἀποστόλους καλεῖ, καὶ φησὶν, ὅτι γνόντες τὴν χάριν τοῦ Κυρίου τὴν δοθεῖσάν μοι Ἰάκωβος (ὁρᾷς προστιθέμενον) καὶ Κηφᾶς, καὶ Ἰωάννης οἱ δοκοῦντες στύλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ, καὶ Βαρνάβᾳ κοινωνίας. βλέπεις τὸ ἄτυφον, καὶ τὴν φιλάδελφον τιμὴν τῶν κορυφαίων, καὶ μαρτυρίαν αὐτῶν, ἣν φιλοχορηγοῦσιν ἐπιεικῶς καὶ πράως, προηγούμενοι τῇ ἰσοτιμίᾳ τὸν μεταγενέστερον μαθητὴν κατὰ τὴν διδασκάλου ἐντολὴν, καὶ μὴ κενοδοξοῦντες ἐπὶ τοῖς προτερήμασι, καὶ ἀξιώμασι κατὰ τὴν ἐθνικὴν, καὶ εἰδωλολατρευτικὴν ἀρχήν.

## ΚΕΦΑ'ΛΑΙΟΝ ΝΑ'.

Δέκατον ἕβδομον ἐπιχείρημα.

Πρῶτος ὁ μακάριος Πέτρος ἐν τῇ κατὰ τὰ Ἱεροσόλυμα συνόδῳ ὡροθετήσατο δημηγορήσας αὐτοῖς.



Λύσις.

ἐξωτερικὸν πρόβλημα ὡς ἕκαστος ἔλαχε βοηθηθεὶς στρατιωτικῇ χειρὶ, καθάπερ Παῦλος ἔτυχε ταυτησὶ τῆς συμμαχίας, ὡς ἔχει τὸ κανονιζόμενον, οἱ βασιλεῖς ὑπερμαχήσωσιν ἕνεκα τῆς ἐκκλησίας, ἐπειδήπερ καὶ Παύλῳ ἐβεβαιώθη στρατιωτικὴ χείρ. ὡσαύτως συνεπιμαρτυροῦνται καὶ κατὰ τὸν λόγον τῆς εἰς Χριστὸν πίστεως, καὶ ὁμολογίας, ὃν συνεκήρυττον, καὶ συνεπίστευον. τοῦτο λοιπὸν καὶ μόνον ἐγκεχειρισμένον ἦν τῷ μακαρίῳ Πέτρῳ πρωτεῖον, καὶ μεῖζον, καὶ πλέον τῆς ἀδελφότητος τὸ διακαέστερον, καὶ θερμότερον φίλτρον, τὸ προεξάρχειν ἐν ταῖς δημηγορίαις, τὸ ὀξύτερον, καὶ προθυμότερον ἐν τοῖς κατορθώμασιν, οὐ μέντοι ἐπερίττευε, καὶ ἐπλεονέκτει τοῖς χαρακτηριστικοῖς ἀξιώμασιν, ἰδιώμασί τε τῆς ἰσοτίμου ἀξίας, ἀποστολῆς, δυνάμεώς τε λόγου, καὶ ποιμαντικῆς ἐξουσίας, ἐφ' οἷς προτερήμασιν οὐδὲν ἔλαττον, ἢ μεῖζον ἐκείνων εἶχεν ἀξίωμα.

## ΚΕΦΑ'ΛΑΙΟΝ ΟΖ'.

### Μαρτυρία τετάρτη.

### Ἐν τοῖς εἰς τὸν ν', Ψαλμόν.

Ἡ κεφαλὴ τοῦ χοροῦ τῶν ἀποστόλων Πέτρος. Ἐξέτασις.

Περὶ μὲν τούτου ἄλλοις εἴρηται ὄπισθεν δευτέρα, καὶ τρίτη πραγματεία διεξοδικώτερον, τάξει δὲ προϊόντες τοῦ λόγου λεκτέον καὶ νῦν ἐν συντομίᾳ, ὅτι πάντες κεφαλαὶ ἀπομιμητικαὶ, καὶ θέσει κεφάλαια λέγονται τῆς ἐκκλησίας, ἀδιάφορα μὲν τῇ ἀξίᾳ τῆς κεφαλῆς τοῦ Χριστοῦ, συμπαραβαλλόμενα δὲ τῇ πρὸς ἐκείνην σπουδῇ, καὶ προθυμίᾳ. διόπερ λόγῳ προαριθμήσεως ὁ κορυφαῖος προτίθεται, καὶ προαριθμεῖται τῆς ὁμοταγοῦς αὐτῷ χορείας, ὡς εἷς, δύο, τρεῖς, καὶ αἱ λοιπαὶ μονάδες συναριθμούμεναι. ὁ μὲν οὖν ὡς μονὰς ἄθετος δευτέρα κατ' ἐκείνην ἰσότιμος. ὅθεν καὶ χορῷ παρεικάζει τὴν κεφαλὴν ὁ ἅγιος ὡς συναριθμουμένην ταῖς συγχορευούσαις αὐτῷ, καὶ συνορμώσαις ἐπὶ τὴν πνευματικὴν Φάλαγγα, καθάπερ προβιβαστής τις προπηδῶν τοῦ χοροῦ. καὶ γὰρ πρῶτος στρατηγὸς ἐσάλπισε τῷ στόματι τῆς σωτηρίας, καὶ εἰσεπήδησε τὴν Φάλαγγα τῆς μάχης διαῤῥηξάμενος αὐτὴν ἐν τῷ ἐκφωνῆσαι τὴν μακαρίαν ἐκείνην ὁμολογίαν, τὸ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καθὸ καὶ τῶν λοιπῶν ἐγεγόνει παραδειγματικὸν αἴτιον εἰσιέναι τὸν πόλεμον περιβληθησομένων τὸν θώρακα τῆς πίστεως, δι' οὗ ἀποῤῥηγνύονται τὰ ὀχυρώματα τῆς ἀσεβοῦς κακοδοξίας. κοινὸν λοιπὸν τοῖς ἀποστόλοις καὶ τὸ κεφαλῆς ὄνομα, ὥσπερ καὶ τὸ κορυφῆς, ὡς προσεσημείωται. καὶ γὰρ ὁ θεῖος Χρυσόστομος οὐ μόνον κεφάλαιον τῶν ἀποστόλων, πατριαρχῶν, προφητῶν, καὶ πάντων τῶν ἀγαθῶν ἀποδείκνυσι τὸν μακάριον Παῦλον, ὡς προδέδεικται, ἀλλὰ πρῶτη πρὸς Κορινθίους κεφ, θ', κοινὴν ταύτην τὴν ὀνομασίαν ὅλοις τοῖς κεφαλαίοις ἐπιδίδωσι λέγων οὕτω. » μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ » ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς, ὁρᾷς σοφίαν, τὸν κορυφαῖον ὕστερον τίθησι. τὸ γὰρ ἰσχυρότερον τῶν κεφαλαίων τότε τίθεται. οὐδὲ γὰρ οὕτω θαυμαστὸν ἦν δεῖξαι τοὺς ἄλλους τοῦτο ποιοῦντας, ὡς τὸν προστάτην, καὶ τὰς Κλεῖς ἐμπιστευθέντα τῶν οὐρανῶν, πλὴν οὐ μόνον τίθησιν, ἀλλὰ πάντας μονονουχὶ λέγων, αἵ τε καταδεεστέρους ζητεῖν αἵ τι



τι τε ὑπερέχοντας, ἅπαντα κεῖται τὰ ὑποδείγματα. καὶ γὰρ οἱ ἀδελφοὶ τοῦ Κυρίου τῆς προτέρας ἀπιστίας ἀπαλλαγέντες τῶν δοκίμων ἦσαν γεγενημένοι, εἰ καὶ μὴ πρὸς τοὺς ἀποστόλους ἔφθανον. διὸ δὴ καὶ μέσους αὐτοὺς τέθεικεν ἑκατέρωθεν τοὺς ἄκρους θείς.

## ΚΕΦΑ'ΛΑΙΟΝ ΟΗ'.

### Μαρτυρία Πέμπτη.

### Καὶ ἐν τοῖς εἰς τὸν ρκθ', Ψαλμόν.

Τὶ δὲ τὸν κορυφαῖον ἐκεῖνον τὸν Πέτρον, οὐ μετὰ μυρία θαύματα, καὶ σημεῖα ἠλεγξε τὸ πταῖσμα ἐκεῖνο τὸ χαλεπὸν πεσόντα, ἀλλ' ὅμως κἀκεῖνο παρέδραμε, καὶ πρῶτον τῶν ἀποστόλων κατέστησεν. Ἐξέτασις.

Ἀναβαθμός ἐστιν ὁ ψαλμὸς, καὶ ἐνδέκατος, ὅλοι οἱ ἀναβαθμοὶ ἀριθμούμενοι κατὰ τὸν λόγον αὐτῶν δέκα πρὸς τοῖς πέντε, τοσαῦται καὶ αἱ ἀναβάσεις τῆς ἱερᾶς κλίμακος τοῦ ἐν Ἱερουσαλὴμ θεοκτίστου Ναοῦ, σημαίνοντες κατὰ μὲν τὸ γράμμα, καὶ τὴν ἱστορίαν τὴν ἐκ τῆς Βαβυλῶνος τοῦ Ἰσραηλιτικοῦ λαοῦ ἐπάνοδον, κατὰ δὲ τὸ πνεῦμα τὴν ἐνάρετον πολιτείαν, καὶ ἀτελεύτητον ἀνάβασιν ἐκ τῆς συγχύσεως τοῦ παρόντος βίου, καὶ ταραχώδους πρὸς τὴν θείαν ἀνύψωσιν, καὶ τὴν οὐράνιον κατοίκησιν τῆς ἄνω Ἱερουσαλὴμ, καὶ προσδοκωμένης νῦν πόλεως τῆς ὧδε μὴ μενούσης τοῦ βασιλέως τῆς δικαίας ἀκροπόλεως Χριστοῦ χάριτι κατασκευασθεῖσαν, καὶ ἐνεργίᾳ, καὶ δυνάμει κατορθωθεῖσαν τῆς τρισυποστάτου Θεότητος, καὶ συναριθμουμένης βαθμολογίας τῇ τε φύσει, καὶ ἐν μιᾷ βουλήσει αὐτῆς ἀδιαιρέτως διαιρουμένης ταῖς ὑποστάσεσι, καὶ διαιρετῶς ἡνωμένης τῇ ταυτότητι, καὶ τῷ ἀπαραλλάκτῳ ἰδιώματι τῆς μιᾶς οὐσίας, καὶ ἀδιαιρέτου ὑπερκειμένης ὀντότητος, ἧς τὴν χάριτα, καὶ θείαν ἐνέργειαν διὰ τοῦ θεανθρώπου Χριστοῦ ἀμέσως ἐβάστασαν, καὶ ὑπέμειναν οἱ δώδεκα ἀναβαθμοὶ συναριθμούμενοι πανάγιοι ἀπόστολοι, ὧν ἑνδέκατος μὲν ὁ μακάριος Πέτρος, δωδέκατος ὁ δόλιος, καὶ ἀποκρημνισθεὶς τῇ διαφορᾷ τῆς μοχθηρᾶς προαιρέσεως Ἰούδας ὁ δοῦλος, καὶ ἱερόσυλος, ὅστις πλείονα τῶν ἄλλων ἐμπιστευθεὶς ἀποστόλων τὴν τῶν χρημάτων οἰκονομίαν, ἐφ' οἷς σφετερισάμενος ἰδιοβουλήτως τὴν ἁγιότητα τῆς χρήσεως, καὶ ἐλευθεριότητος αὐτῶν, ὑψηλός τε, καὶ μετάρσιος γεγονὼς διὰ τὸ πληρῶσαι τὸ οἰκεῖον βούλημα, καὶ πωλῆσαι τὸν ἀτίμητον ἀργυρίων τριάκοντα, καὶ προδεδωκέναι τὸν διδάσκαλον Χριστὸν λελάκηκε, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ, καὶ τὸν χῶρον τῆς βαθμολογίας αὐτοῦ λέληφε κληρωσάμενος Ματθίας ὁ ταπεινὸς, καὶ πρᾳότατος προσαναπληρῶν, καὶ συντελῶν τὸν δωδέκατον ἀναβαθμὸν τοῦ προφητάνακτος, καὶ θεοπάτορος Δαβὶδ, λέγοντος σὺν τῷ ἐκείνου ἐνηχοῦντι Πνεύματι, Κύριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμὲ, διὸ καὶ μετὰ τὸν ἑνδέκατον πρόκειται συναριθμούμενος, ἐπειδήπερ ὁ μακάριος Πέτρος ἑνδέκατος ὢν δημηγορεῖ περὶ τοῦ ξυμμαρτυρήσοντος τὸν τῆς ἀναστάσεως λόγον, καὶ συγκολληθησομένου αὐτῷ ὁμοταγῶς, καὶ ληψομένου τὴν συνδιακονίαν, ἀφ' ἧς παρέβη Ἰούδας ὁ πονηρότατος, καὶ φίλαρχος, ὁ τοσαύτης μακροθυμίας τυχὼν, καὶ μείνας ἀνεπανόρθωτος τῷ αὐτοῦ μοχθηρῷ θελήματι, οὐχί τε διὰ τὴν θείαν φιλανθρωπίαν, καὶ τὸ ἀνείκαστον πέλαγος τῆς τοῦ Θεοῦ εὐσπλαγχνίας. εἰ γὰρ μετενενοήκει, προπεπτωκὼς

Πνεύματι ἁγίου εἰς φιλαδελφίαν ἀνυπόκειτον. οὗτος ἑαυτῷ θαρρεῖ, καὶ οὐ τῷ καθόλου Πνεύματι, καὶ Θεῷ, πᾶσάν τε τὴν κοινὴν, καὶ καθόλου ἐξουσίαν τοῦ Πνεύματος ἀφελόμενος ἀπὸ τῆς ἀδελφότητος, τὴν ἰδίαν ἑαυτῷ αὐτὴν καθυποκεῖσθαι παρασκευάζων. Ἐκεῖνός φησιν, ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον, καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ. ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν, ἀπειθοῦσι δὲ, λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Λίθος προσκόμματος, Πέτρα σκανδάλου, οἳ προσκόπτουσι τῷ Λόγῳ ἀπειθοῦντες, εἰς ὃ καὶ ἐτέθησαν. ὑμεῖς δὲ γένος ἐκλεκτὸν, Βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ τοῦ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς. οὗτος ἑαυτὸν Πέτραν ποιῶν ἀνεξάρτητον, καὶ μὴ συναριθμούμενον τοῖς λοιποῖς στηρίγμασι τῆς τοῦ Κυρίου οἰκοδομῆς, καὶ ἱεροσυλῶν τὴν τιμὴν τῆς εὐσεβείας, καὶ τὴν καθόλου εὐγένειαν, καὶ εὐεργεσίαν τοῦ βασιλικοῦ ἱερατεύματος, διεκδικεῖ αἱρετικοὺς, καὶ διαφεύδει αἱρεσιάρχας, ἑαυτὸν δὲ παρὰ τὸ ἔργον ἀναμάρτητον τῶν περὶ εἰς τὸ θεῖον σέβας γαυριῶν, καὶ παρὰ τὴν εὐπραγίαν αὐτοῦ μεγαλαυχούμενος. ποῦ λοιπὸν ἡ ἀπομίμησις, καὶ ἡ τοῦ μακαρίου Πέτρου διαδοχὴ, ὅπου πλεῖστον ἐξεικονίζεται ἡ παραλλαγὴ, καὶ διαγράφεται ἡ αὐθυποφερομένη εἰκὼν τῆς ἐκείνου πρὸς τὸν Θεὸν, καὶ σωτῆρα Χριστὸν ἐπιγνώσεως, θερμοτέρας διαθέσεως, φιλοστόργου ἀδελφότητος, πολιτείας τε, καὶ τῆς ἀνυποκρίτου θεοσεβείας. Ὅτι μὲν οὖν τὰ διαμαρτυρηθέντα τῷ χρυσορρήμονι κοινῇ ἐκληπτέα, ὅτι τε τὸ δίλημμα κατὰ τοῦ δὶς λαμβάνοντος ἐπιφέρει τὴν ἧτταν, ὅτι τὸ πολύτελος, τὸ χάριν οὗ, καὶ δι' ὃ ἓν καὶ μόνον ἐστὶν ἀπλήθυντον, τὸ δὲ ἕνεκά του, καὶ ᾧ, πολυπλασιαζόμενον, καὶ πολλαχῇ λεγόμενόν ἐστιν, ᾧ συνεσκόπευον οἱ πανάγιοι ἀπόστολοι, καὶ ἀλληλοδιαδόχως συναποβλέπουσιν εὐτονώτατα πάντες οἱ ἀρχιερεῖς τῇ ἐξουσίᾳ τοῦ Πνεύματος. καὶ ὅτι ὁ Πάπας οὐ διαδέχεται τὸν μακάριον Πέτρον, ὡς μὴ βαστάζων τὴν πατρικὴν εἰκόνα, καὶ χαρακτηριστικὴν ἐμφέρειαν αὐτοῦ τὴν ἐν ἤθεσι, καὶ ἐν εὐσεβείᾳ, καὶ πολιτείᾳ ἐκείνου συνδεδεμένην διὰ τοὺς θεοσεβεῖς, καὶ ὅτι οὐ δεῖ προσκυνεῖν τὸ κιβδηλεῦον τὸ χαρτηρατοποιούμενον τέρας αὐτοῦ, ἅτε παραλλάσσον, παραγράφον, καὶ τὸ ὑποφοροῦν γόνιμον τῆς ἐξεικονίσεως, ἅλις.

## ΚΕΦΑ'ΛΑΙΟΝ Π'.

### Μαρτυρία ἑβδόμη.

Ἀντιφωνεῖ καὶ ὁ μέγας Βασίλειος ἐν τῷ περὶ κρίματος Θεοῦ.

Ὁ μακάριος Πέτρος ὁ πάντων μὲν τῶν μαθητῶν προκριθεὶς, μόνος δὲ πλεῖον τῶν ἄλλων μαρτυρηθεὶς, καὶ μακαρισθείς.

### Ἐξέτασις.

Αὕτη ἡ μαρτυρία προεξέτασται ἡμῖν θείᾳ συμμαχίᾳ ἅλις ὅπισθεν ἐν τῷ πρώτῳ μέρει τοῦ δευτέρου μέρους τῆς τετάρτης πραγματείας, ἐφ' ᾗ ἠγώνισται ὁ αὐτοχρονισμὸς τῆς ἀληθείας κατὰ τοῦ ἀντιχρονισμοῦ τῆς ψευδολογίας, ἅμα τε δέδεικται, πῶς ἐν τοῖς ὀρθοῖς κριτηρίοις λαμβάνεται τὸ πρότερον ὕστερον, καὶ τὸ ὕστερον ὡς γνώριμος πρότερον καὶ πρωτόγονος δικαζόμενον. σὺν τούτοις, ὅτι προμεμαρτύρηται, προκέκριται, καὶ προμεμακάρισται συναξιούμενος ὁ μακάριος Πέτρος τῇ ὁμοταγεῖ αὐτῷ χορείᾳ, καὶ συναριθμούμενος τοῖς συναποστόλοις αὐτῷ μαθηταῖς.



ὅθεν προΐσταται τῆς ἀδελφότητος οὐχ ὡς πλείονα ἔχων τὴν ἀξίαν, ἀλλὰ πλεονεκτῶν τῇ προθυμοτέρᾳ σπουδῇ, καὶ διακαεστέρᾳ ἀγάπῃ τῇ πρὸς τὸν διδάσκαλον, ὃν ὤφειλε πλείονα, ἐπειδήπερ καὶ πλεῖον εὐεργετήθη, ἀφεθεὶς τοῦ παραπτώματος, καὶ ἀλειφθεὶς τῇ θείᾳ συμπαθείᾳ. ἄλλως τε ὅτι τὰ πρὸς ἐκεῖνον ῥηθέντα οἰκονομικῶς παρὰ τοῦ διδασκάλου Χριστοῦ κοινῇ διαμεμαρτύρηνται, καίπερ πρὸς ἕνα λέγονται, κατὰ τὸν λόγον τῆς ἀληθείας, καὶ ἑρμηνείας τῶν διδασκάλων τῆς ἐκκλησίας, μάλιστά γε τῆς τοῦ ἱεροῦ Ἐπιφανίου παραδόσεως, διόπερ ἐν τοῖς ὄπισθεν ἐπαναληπτέαν τὴν κατὰ πλάτος ἀκριβολογίαν, καὶ ἐξεταστικὴν διάθεσιν τῆς προχειρίσεως.

## ΚΕΦΑ'ΛΑΙΟΝ ΠΑ'.

### Μαρτυρία ὀγδόη.

Ἀντιπνεῖ καὶ ὁ θεῖος Ἐπιφάνιος ἐν τῷ κατὰ Ἀνοήτων.

Ὕστερον γὰρ πάλιν, ὅτε ἡ τελεία αὐτοῖς ἀπόταξις γεγένηται, ἀπὸ τοῦ Πέτρου γεγένηται. ἐπειδὴ γὰρ καὶ αὐτὸς ἀφηγεῖτο τοῦ ἰδίου ἀδελφοῦ, καὶ ἔτι δὲ κατὰ τοῦτο, ὅτι Θεός ἐστιν εἰδὼς τὰς κλίσεις τῶν καρδιῶν, καὶ γινώσκων τίς ἐν πρώτοις ἄξιος τάττεσθαι, καὶ ἐξελέξατο τὸν Πέτρον ἀρχηγὸν εἶναι τῶν αὐτοῦ μαθητῶν.

### Ἐξέτασις.

Ἐπειδήπερ πρῶτον τῇ τάξει ὑποτίθησιν ὁ ἅγιος τάττεσθαι τὸν μακάριον Πέτρον, τῶν ἄλλων συντασσομένων αὐτῷ, καὶ συγχορευόντων. ὁ δὲ ὑπεναντίος φησὶν αὐτὸν εἶναι ἀντιπνέοντα τῷ ἐν μακαρίᾳ τῇ λήξει κυρῷ Πατελάρῳ, καταμάθωμεν ἐν ἀκριβασμῷ διακριτικοῦ, καὶ συντακτικοῦ λόγου τῆς θεοκινήτου λύρας, εἰ ὁ σφετεριζόμενος τὰ ἀλλότρια ὡς ἴδια ἀντίδικος διευθύνει ὀρθῶς, καὶ συντάττει κανονικῶς τὸ δωδεκάχορδον ὄργανον τοῦ Πνεύματος, καὶ ταῦτα μὲν κατὰ τὴν ἀληθῆ, σύμφωνόν τε πνοὴν τῆς συγχορείας κινούμενον, καὶ λαλούμενον ὑπὸ τοῦ πρώτως ἀκινήτως, καὶ αὐτοκινήτως κινοῦντος, καὶ λαλοῦντος αὐτὸ, οὐχὶ κατὰ τὸν ἄλογον λόγον τῆς ἐν μοχθηρίᾳ, καὶ τῆς ἐν Βαβυλῶνι μουσικῆς, ἀλλὰ κατὰ τὸν ἐναρμόνιον λόγον τοῦ κρούοντος, καὶ ἐνηχοῦντος Πνεύματος, καὶ τῆς ἐπ' ἀγαθῷ κατ' ἀρετὴν κλίσεως Θεῷ χρεωστουμένης, ὅστις εἰ μὲν θεοκινήτως εὐτονεῖ, καὶ συντάττει τὴν δωδεκάχορδον, καὶ δωδεκάφθογγον λύραν τοῦ Πνεύματος, συμμελῳδήσωμεν, καὶ συγχορεύσωμεν εὐλόγως ὑποταττόμενοι τῷ ἐνηχοῦντι Πνεύματι, εἰ δὲ νενοθευμένως, καὶ μοχθηρῶς, καὶ μὴ κατὰ τὴν ἐπαγγελίαν τῆς αὐταληθοῦς τελεταρχικῆς συντάξεως, καὶ τὴν συμφωνίαν τῆς ὁμοταγοῦς χορείας τῶν συγχορευτῶν κορυφαίων τῆς ἀποστολῆς, παρακεκλικότες τὸ ἄμικτον, καὶ τὸ ἀσυγκέραστον τὴν ἑνότητα τῆς νυμφικῆς συνθέσεως, συνείπωμεν κρεῖσσον τῇ τερψιφθόγγῳ λύρᾳ τῶν τριῶν παίδων τῆς ἀνεξικακίας μέσον φλογὸς τῇ δρόσῳ τοῦ ἄνωθεν ὕοντος Πνεύματος καταρραντιζομένων, καὶ ἀντιφθεγγομένων τῷ τῆς Βαβυλῶνος καταδυναστεύοντι μὲν τῶν σωμάτων τῆς ὁσιότητος, οὐ μένοντι τῆς ἁγίας προαιρέσεως αὐτῶν Θεῷ δεδουλωμένης κατακυριεύοντι. Ὄργανα παρέκλινε τὸ πένθος ᾠδῆς. οὐ γὰρ ᾖδον ἐν νόθοις οἱ παῖδες Σιὼν, Βαβυλῶνος λύει δὲ πλάνην πᾶσαν, καὶ μουσικῶν ἁρμονίαν Βηθλεὲμ ἐξανατείλας Χριστός. διὸ ἀνυμνοῦντες ἐπαμέλψωμεν, εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

θείας ἐπισκέψεως, διανοίας τε, καὶ διατυπώσεως τῆς ὀρθοδόξου ἐκκλησίας τοῦ Χριστοῦ, ἴστω, ὅτι οὐ μέμφεται ἡμῖν ἀδίκως ἐγκαλουμένοις, ἀλλ᾽ ἐπέξεισι κοινῇ αὐτῆς τῆς καθόλου καλλονῆς τῶν ἱεραρχῶν τοῦ Χριστοῦ, Οἰκουμενικῶν, καὶ κατὰ τόπον Συνόδων, θεοπνεύστων τε διδασκάλων, ἱεροκηρύκων ἀποστόλων, ὁμολογητῶν, καὶ ἀσκητῶν, καὶ παντὸς θεοσεβοῦς ἐν Χριστῷ συμπολιτεύματος. τὸ δὲ κυριώτερον, ἵνα συνελὼν εἴπω, αὐτοῦ τοῦ Χριστοῦ κατεξανίσταται. ἡ γὰρ μίμησις τῶν αὐτοῦ παθημάτων κατὰ τὴν ἑβδόμην Συνόδων, ἐκεῖθεν λαβοῦσα τὰς ἀρχὰς εἰς ἀποστόλους, καὶ μάρτυρας διαβαίνει, κατιοῦσα μέχρις ἀσκητῶν, καὶ ὁμολογητῶν, καὶ πάντων τῶν ἁγίων. Διόπερ ὁ αὐταπόστολος Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, οὗ τῷ αἵματι ἐξηγοράσθημεν, καὶ τοῖς ῥήμασιν αὐτοῦ διωκόμεθα ἐνηχούμενοι τῷ παρακλήτῳ Πνεύματι τῆς ἀληθείας, καὶ παιδευόμεθα τῇ ὄντως ἀληθεῖ, ἀποστολικῇ τε διδασκαλίᾳ τῆς ὁδηγούσης ἡμᾶς τελεταρχικῆς, καὶ πανεπιστήμονος θείας ἀποῤῥοίας εἰς πᾶσαν τὴν βεβαιότητα τοῦ παρακλήτου Πνεύματος, ἐπιστέλλων τοὺς αὐτοῦ φοιτητὰς ἐπὶ τὸ κήρυγμα εἰρηκὼς ἔφθη αὐτοῖς, ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, ὁ δὲ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ. ἅτινα κυριακὰ ῥήματα δέον ἐστὶ κοινῇ ἐκλαμβάνεσθαι, ὥσπερ τινὰ λαμπηδόνα καθόλου ἡλιακὴν, ἢ λυχνίαν τινὰ φωτίζουσαν, καὶ περιαστράπτουσαν ὅλον τὸν οἶκον, καὶ τὸ πλήρωμα τῆς ἐκκλησίας, οὐ μήνγε δολοφρόνως αὐτὰ κρύπτειν ὑπὸ τὸν μόδιον, καὶ τὸ κοινὸν εἰς τὴν καθόλου εὐεργεσίαν κεχρηματικὸς τάλαντον καταχωννύειν ὑπὸ τὴν ζοφερωτάτην, καὶ καταχθόνιον γῆν τῆς δυτικῆς ἀμαυρότητος, καθάπερ ὁ ἀντίδικος παρεγγράφεται, ὥστε ἥτε ἀθέτησις, καὶ συγκατάθεσις ὑμῶν τῇ ἡμετέρᾳ μετριότητι, καὶ τοῖς μακαριωτάτοις μου ἀδελφοῖς συμπατριάρχαις, τῇ καθ᾽ ἡμᾶς δὲ ὑπερτελεστάτῃ Συνόδῳ τῶν ἱερωτάτων μου ἀδελφῶν, καὶ συλλειτουργῶν ἀρχιερέων, μητροπολιτῶν, ἀρχιεπισκόπων, ἐπισκόπων, εὐλαβεστάτων ἱερέων, θεοσεβεστάτων ἱεροδιακόνων, ἐντιμοτάτων κληρικῶν, εὐγενεστάτων, καὶ χρησιμωτάτων ἀρχόντων εἰς τὸν Θεὸν, καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀνέρχεται, καὶ ἐπὶ πάντας τοὺς ἁγίους ἀποστόλους, προφήτας, μάρτυρας, ἀσκητὰς, ὁμολογητὰς, καὶ πάντας τοὺς ἁγίους διαβαίνει, οἷς ἡμᾶς συναυλισθῆναι εἰς τὰς οὐρανίους μονὰς καταξιώσειε Κύριος ὁ Θεὸς ἡμῶν εἰς ὑπακοὴν πίστεως τῆς εἰς Χριστὸν Ἰησοῦν τῇ αὐτοῦ χάριτι, καὶ φιλανθρωπίᾳ, πρεσβείαις τῆς παναγνοῦ αὐτοῦ μητρὸς, ἱκεσίαις τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων, προφητῶν, ἱεραρχῶν, ὁσίων, ἀσκητῶν, καλλινίκων μαρτύρων, καὶ ὁμολογητῶν, καὶ πάντων τῶν ἁγίων, ἀμήν.

Τέλος, καὶ τῷ συμμαχήσαντι Θεῷ χάρις.



Τοῦ μακαριωτάτου Πάππα τῆς μεγάλης Ἀλεξανδρείας Κυρίου Μελετίου λόγος, περὶ τοῦ τίς ἐστιν ἡ ἀληθὴς καθολικὴ ἐκκλησία καὶ ποία ἐστὶν ἡ γνησία καὶ ἀληθὴς κεφαλὴ αὐτῆς. Καὶ κατὰ τῆς ἀρχῆς τοῦ Πάππα τῆς Ῥώμης, ἐκφωνηθεὶς πρὸς τὸν ἁγιώτατον Σίλβεστρον, τὸν πρωκάτοχον καὶ Γέροντα αὐτοῦ.

Χαλεπανεῖς μου τῇ παῤῥησίᾳ δέσποτα καὶ πάτερ, ἢ τῇ ἀληθείᾳ συμφήσεις, καὶ συναλγήσεις μου τῇ ἀθυμίᾳ, τῶν ἡμετέρων (τουτέστι τῆς τῆς ἐκκλησίας τροφίμων) οὐ πάνυ ὀλίγους πεπλανημένους ὁρῶν, καὶ τούς γε χαλεπώτερον τοὺς τοῦ βήματος. οἱ γὰρ τοῖς λοιποῖς ὀφείλοντες καθηγεῖσθαι, τυφλώττουσιν αὐτίκρυς, καὶ γέγονεν ἐν ἡμῖν σκότος τὸ φῶς, ἐμπόριον νομίζουσι τὴν ἐκκλησίαν. τὰς ἱερατικὰς δὲ καὶ ἀρχιερατικὰς τάξεις, οὐκ εὐαγγελίου λειτουργίας, οὐ διακονίας καὶ ὑπηρεσίας, τὴν κοινὴν σωτηρίαν θηρωμένας, καὶ συντεινούσας εἰς τὴν τῆς ἐκκλησίας οἰκοδομὴν, ἀλλὰ δοξομανίας ὑποθέσεις, καὶ πόρους χρημάτων. ὢ τῶν δεινῶν, καὶ τίς δώσει τῇ κεφαλῇ μου πηγὰς δακρύων καὶ ἐπικλαύσωμαι τὴν συμφορὰν τοῦ λαοῦ μου, κεκένωται τῆς θείας δόξης ὁ τοῦ Θεοῦ μονογενὴς παῖς τὴν τῶν ἀνθρώπων σωτηρίαν πραγματευόμενος. πτωχεύει τε τὴν ἐσχάτην πτωχείαν πλούσιος ὢν, καὶ ἀνθρώποις μάλιστά γε οἱ τὸ τοῦ Χριστοῦ πρόσωπον φέροντες, οἱ ποιμένες τοῦ Ἰσραὴλ, ἀπὸ κοπρίας ἐξεγειρόμενοι, καὶ καθεσθέντες μετὰ ἀρχόντων λαοῦ Θεοῦ, δοξῶν οἰκείων καὶ χρηματολογίας ἀφορμὰς τίθενται τῆς ἐκκλησίας τὰς διακονίας, ἰδίων δηλονότι παθῶν παρανάλωμα τὰς ἀνθρώπων ψυχάς. Χριστὸν αὐτὸν ἔδει παρεῖναι τριπλόκῳ πάλιν φραγγέλλῳ τῆς ἐκκλησίας ἐκβάλλοντα τοὺς θεοκαπήλους. σὺ κάθῃ ἱερεὺς ἢ ἀρχιερεὺς ἴσως, μυστηρίων Χριστοῦ ἐπόπτης, ὑπηρέτης μυστηρίων, μύστης, μυσταγὸς, τύπον καὶ τόπον ἐπέχων, ἐξουσίαν καὶ ἀξίαν φορῶν Χριστοῦ, τοῦ ἔσχατα πτωχεύσαντος, καὶ μηδὲ πετεινοῖς ἴσα, μηδὲ ἀλώπεξι σκήνωμα ἢ φωλεὸν ἐσχηκότος, καὶ σὺ περὶ χρημάτων λογοθετεῖς, καὶ ζητεῖς τὸ κέρδος, καὶ δοκιμάζεις τὸ κέρμα, καὶ ψηφίζεις τὸν πόρον, καὶ πρὸς τὸ μαρσίππιον κέχηνας ὅπως ἔχοι μεμεστωμένως, τῶν ἄλλων ἁπάντων ὑπερορῶν, σωρηδὸν τῶν πέλας κατὰ φερομένων εἰς ᾅδου, ὢ γεννήματα Τρισάλαινα Ἰσκαριώτου, οὐχὶ καὶ ὑμῖν χρημάτων πιπράσκεται ὁ Χριστὸς, εἴπατέ μοι ὦ οὗτοι, ἀνθρώπων ὑμᾶς κατέστησεν ὁ σωτὴρ ἁλιεῖς, ἢ χρημάτων πριστάς, πῶς ἀναξίως καθάψαιτό τις τῆς ἀτοπίας, ἢ παρὰ τίσιν εἰκότως τὸ κακοδαίμονον ἀποκλαύσεται, ὅπου γε καὶ αὐτοὶ τῶν ἄλλων οἱ πρόκειται τὰ ξανθὰ τῶν ὠμοφοριῶν καρίνα, οὐκ ἀποδοκιμάζουσι τὸ χρῆμα, ἀλλ᾽ εὐδοκιμώτεροι καὶ παρ᾽ αὐτοῖς οἱ νομισμάτων εὐπορώτεροι, εἴθε οἷος γενησοίμην πρὸς τηλικοῦτον κακὸν, καὶ γλώττῃ καὶ χειρὶ ἀντιτάξασθαί ποτε, ἢ ἄλλοθέν ποθεν παραγένοιτο ὁ τηλικαύτην ἐξοστρακίσων ψυχοφθόρον λύμην, καὶ προφθάσαι τὴν τοῦ Θεοῦ ἄπειρον ὀργήν. τὸ δὲ νῦν ἔχον ἄλλας ἐκτροπὰς ἀνατρέπων, τὸν περὶ ἐκκλησίας συγγραψάμενος στρωματέα τουτονὶ τὸν δεύτερον, ὅν σου τῇ θείᾳ ψυχῇ πέπομφα. δοκιμάσει δὲ πάντως εἰ καὶ τοῖς ἡμετέροις τραύμασιν οἷός τ᾽ ἂν ὁτιοῦν ἀντιφάρμακον γενέσθαι, γνωρίζων τῆς ἐκκλησίας τὴν ὅλην ἰδέαν, καὶ τὸ προσφυέστατον καὶ ἀνόθευτον κάλλος. τοῦτ᾽ ἂν εἴη,

τίσιν οἰκοδομεῖται διακονίαις, τίσιν ἀρχαῖς κυβερνᾶται, καὶ πρὸς τί τέλος, εὔχομαι δὲ Θεῷ εὐαρέστως καὶ τὰ τῆς ἡμετέρας πρὸς τὴν σὴν μακαριότητα εὐμενείας, τὸν ἐνόντα τρόπον ἀφοσιώσασθαι, ἧς αἱ θεῖαι εὐχαὶ μεθ' ἡμῶν εἴησαν.

Μελέτιος τοῖς ἐντευξομένοις.

Ἀντὶ μεγίστων εὐεργετημάτων ὑμᾶς ἐλέσθαι νομίζω ἄνδρες ἀδελφοὶ (ὅσοι τῆς τοῦ Χριστοῦ καὶ σωτῆρος ἱερᾶς ἐκκλησίας λεγόμενοι παῖδες σπεύδετε τῶν γνησίων εὑρεθῆναι) εἰ φανερὸν ὑμῖν γένοιτο τῆς ἀληθοῦς ἐκκλησίας τὸ εἶδος τὸ εἰλικρινὲς, τίς ποτ' εἴη, πῶς τε καὶ ἐφ' ὅτῳ διιθυνομένη ἡ ἀληθὴς τοῦ Χριστοῦ ἐκκλησία καὶ νύμφη, ἡ μήτηρ τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων. θαλάσσας γὰρ ταραττομένας, καὶ πολυκλύστους ὑπολήπτεον τῶν ἀνθρώπων ἁπάντων τὰ συστήματα, βιαίαις ἀνέμων, λῃστῶν ἐφόδοις, καὶ ἐκπνεύσεσιν ἐκκειμένας, βριαρῶν δρακόντων, καὶ ἀρχιδράκοντος θανατηφόρου πιεζομένας ἐπιδρομαῖς, εὔδιον δέ τινα λιμένα τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, ἐκ μὲν τῶν αὐτῶν συστᾶσαν ὑδάτων, ἄλλων δὲ αὐχημάτων πλουτοῦσαν θεοειδῶν, θεοδμήτῳ μὲν θριγκῷ ἀμφιεζωσμένην, περιβολαῖς δηλονότι ἀγγέλων, καὶ πνευμάτων δυνάμεσι λειτουργικῶν εἰς διακονίαν ἀποστελλομένων διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, τῷ δὲ λύχνῳ τοῦ νόμου οἷα πυρσῷ λαμπομένην, ζωηφόροις τε αὔραις ταῖς τοῦ θείου Πνεύματος, ἀναζωπυρουμένην, καὶ πνέουσαν, σκοπὸν κεκτημένην ἄϋπνον, τὸν τὰς κεφαλὰς τοῦ τε δράκοντος, καὶ τῶν δρακόντων συνθλάσαντα Χριστὸν, εἰς ὃν δὴ σωτηρίας λιμένα δεῖ καθορμισθῆναι, ἐν ταύτῃ δὲ διαπλεῖν μένοντας, τοὺς ὀρεγομένους τῆς Χριστοῦ βασιλείας ἐπιτυχεῖν. Περὶ ταύτης τοι τῆς ἐκκλησίας ταυτὶ ἡμῖν προτίθεται λέγειν, τί τε, ἢ τίς ποτ' εἴη, πῶς τε, καὶ τίνων ὑφηγουμένων, καὶ τίσιν ἐπ' ἐλπίσι κυβερνωμένη, ὥστε μή τινα πλανηθῆναι ἐν ταύτῃ λογιζόμενον εἶναι, πόῤῥω που τυγχάνοντα ἐν μέσοις κινδύνοις. μιμεῖσθαι γὰρ ἡμᾶς προσήκει τὸν οὐράνιον Πατέρα, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Ἐπειδὴ δὲ οὐκ ἀνάρθρως καὶ ἀνεσμηλησμένως, ἀλλ' ὀφθὸν καὶ ἀναμὶξ ὁ λόγος κατέστρωται, τὴν τοῦ γραμματέως προσηγορίαν ἐκτήσατο, ἐκεῖθεν σὺν Θεῷ ἀρξάμενος. ἵνα μηδένα εἶναι τὸν ἀμφιβάλλοντα εἶναι ἐκκλησίαν. ἡ τῆς θεοπνεύστου γραφῆς καὶ ἄκρον γευσάμενον χείλεσιν, εἴτουν ὁπωσοῦν μετειληχότα λόγου, τῆς μὲν ἑκασταχοῦ μαρτυρούσης τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ νῦν ὄρος που καλούσης, νῦν δὲ πόλιν ἐπ' ὄρους κειμένην, ἣ δὴ πάντως τῆς ἐκκλησίας ἐστὶν ἡ κορυφαία εὐπρέπεια. ἡ αὐτῆς ὁ καὶ ἐξ ὄρους ἁγίου ἀποτμηθεὶς λίθος καὶ λεπτύνας τὸν χρυσὸν, τὸν ἄργυρον, τὸν σίδηρον, τὸν ὄστρακον, ἐφ' ᾧ ἡ ἐκκλησία ᾠκοδόμηται. ἔστι δὲ ὅπου σιὼν καὶ ἱερουσαλήμ, τὴν μὲν νῦν, τὴν δὲ ἄνω. ἀλλαχοῦ δὲ πάλιν ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον χιλιάδας εὐθυνόντων, καὶ σειρὰν πάλιν τέξασαν ἑπτὰ, πληθύουσαν δηλονότι, πληθύϊ τινὶ μυστικωτάτῃ, ἐν ᾗ ἐπαναπαύεται Θεὸς, ἣν εὐλόγησεν, ἣν ἡγίασεν, ἐν ᾗ ἐνῴκησεν. ὅθεν καὶ οἶκος λέγεται, ὃν ᾠκοδόμησεν ἑαυτῇ ἡ σοφία, καὶ ὑπήρεισε στύλοις ἑπτά. τὴν αὐτὴν ὡς μητέρα ἐπὶ τέκνοις εὐφραινομένην, καὶ πρωτοτόκων μητέρα, καὶ πόλιν Θεοῦ, περὶ ἧς ἐλαλήθη δεδοξασμένα. καὶ πόλιν, ἧς δημιουργὸς καὶ κτίστης ὁ Θεὸς, καὶ πόλιν, ἣν ᾠκοδόμησεν ὁ Θεὸς, ὁμοίως δὲ καὶ ἔθνος ἅγιον, βασίλειον ἱεράτευμα, καὶ κλῆρον Χριστοῦ, καὶ ποίμνην προβάτων, ἀλλαχοῦ δὲ βασιλείαν Χριστοῦ, ἣν καὶ παραδώσει τῷ Πατρὶ ὁ Υἱὸς, σπέρμα πάλιν καλὸν, σπόρον ἀγαθὸν ἐν ἀγρῷ σπαρέντα, καὶ παρεσπαρμένοις

Ὅ τι ἐστὶν ἐκκλησία.

ζιζανίοις

τὰ προσαρμόζοντα ἰδιώματα ἔχουσιν, ἡ μὲν πίστις πράξεις τὰς ἀγαθάς. ἡ δὲ τὰς φαύλας ἡ ἀπιστία. κἂν γάρ που δοκεῖ τι κατεπιτηδεύεσθαί πως τῶν δῆθεν εὐφήμων ἡ τῶν ἀπειθῶν ὁμήγυρις, ἐπιπόλαιόν ἐστι τὸ κάλλος, πρὶν ἢ φθάσαι εἰς καλοῦ ἐντελέχειαν ἐν ἑαυτῷ συναπομαραινόμενον. ἐν μέρει δὲ συμβεβηκότων τιθέσθω ταῦτα, ὥς δὴ καὶ τὰ τῶν ἐκλεκτῶν ἔσθ᾽ ὅπου ἀσχήματα καὶ πλημμέλειαι. Ἐπακολούθημα δὲ ἐφέλκεται ἑκατέρα τὸ κατάλληλον, ἡ μὲν τῶν υἱῶν τοῦ Θεοῦ ἐκκλησία, τὴν κακουχίαν· τὴν δὲ εὐπάθειαν οἱ τῆς ἀπωλείας υἱοί. εἰ γὰρ καί τι ἔσθ᾽ ὅτε προσγίνεται τοῖς εὐσεβέσι τῶν ἐνταῦθα ἀγαθῶν, οὐ τῶν ἐπηγγελμένων ἐστὶν ἡ ἀπόθετος, καὶ ἀπόρρητος χάρις, μικρὸν δέ τι ἀνθρωπίνης ἀσθενείας παραμύθιον· εἰ δέ τι καὶ τοῖς ἀσεβοῦσι γίνεται κακόν, οὐ τὸ τεθησαυρισμένον ἐστὶν ἐν ἡμέρᾳ ὀργῆς, ἀλλ᾽ ἀμυδρά τις τῆς ἀχαλινώτου κακίας προπαίδεια, τὰς μὲν αἰσχίστους ὁρμὰς τῆς μοχθηρίας, καὶ ἀκούσας ἀπαμβλύνουσα. δυοῖν τε θάτερον. ἢ ἐκείνας ὑπεξαίρουσα, ἀπὸ τῆς ἄγαν χρηστότητος τοῦ φιλανθρώπου Θεοῦ τὰς τῆς πονηρίας ὑποθέσεις, ἵνα μὴ ἀφειδέστερον ἁμαρτήσασαι, καὶ χαλεπώτερον κολασθῶσιν, ἢ πάντως ἑτέροις προμυθουμένη, ὅπως μὴ ἀκράτως ὑφιστῶνται τῶν ἀλαζόνων τὰς ὕβρεις. εἴσεται δέ τις ἐν τοῖσδε ἡδέως φιλοσοφῶν τὴν κοινὴν ὕλην, τὸ κοινὸν φύραμα τῶν ἀνθρώπων, οἷόν τι γένος ἑκατέρωθεν δεκτικὸν τῶν διαιρουσῶν διαφορῶν καὶ εἰδοποιῶν. Εἴη δ᾽ αὖ πίστις ἐκ χάριτος διὰ τοῦ αὐτεξουσίου προρρέουσα (δεῖ γὰρ καὶ τὴν χάριν ἀνακηρύττεσθαι, καὶ τὸ αὐτεξούσιον μὴ ἀναιρεῖσθαι τῇ χάριτι εἰς αὐτεξουσίου ἐν τέλει ἀναστοιχειωθέν. Γρηγόριος καὶ Αὐγουστῖνος σχεδὸν αὐτολεξεί φασι) καὶ ἀπιστία πηγάζουσα ἐκ τῆς προαιρέσεως ἀβιάστως. Φαίης δ᾽ ἂν καὶ εἴδει τὰς μεμορφωμένας ἢ πίστει ἢ ἀπιστίᾳ ἐκκλησίας. ἴδια δὲ ἑκατέρας αἱ πράξεις, τῆς μὲν αἱ θεοφιλεῖς τῆς τῶν ἐκλεκτῶν ἐκκλησίας. τῆς δὲ τῶν ἀποδεδοκιμασμένων αἱ θεοστυγεῖς. ἴδια δ᾽ ἂν εἴη ταῦτα ἑκατέρας ἀναλόγως ἰδιαίτατα. αἱ γὰρ παρεκβάσεις θατέρας, ὥς τινα συμβεβηκότα λογιζέσθωσαν, καὶ παρεῖναι καὶ ἀπεῖναι πεφυκυῖαι, ἄνευ δὲ τῆς τῶν ὑποκειμένων φθορᾶς. Δαβὶδ γὰρ ἦν ὁ Δαβὶδ καὶ μοιχείᾳ καὶ φόνῳ ἁλούς. ἐὰν γάρ φησι πέσῃ οὐ καταραχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ. καὶ Σαοὺλ ὁ Σαούλ, κἂν ἐν προφήταις. Πέτρος ἦν ὁ Πέτρος κἂν τῇ ἀρνήσει. Ἰούδας δ᾽ ὁ Ἰούδας, κἂν τῷ κηρύγματι, εἰ καὶ πρὸς τὸ φαινόμενον, οὐ πάμπαν ἐστὶ ταυτὸ Ἰούδας ὁ Ἰούδας, εὐαγγελιζόμενος καὶ προδιδούς, οὐ γὰρ ταυτὸ ἀπόστολος ὡς ἀπόστολος τῷ προδότῃ ὡς προδότῃ. πεπήγασι γὰρ οἱ τῶν πραγμάτων ὅροι ἑκατέρωθεν, ὅ, τε ἀφ᾽ οὗ ὁρμῆται, ὅ, τε εἰς ὃν καταλήγει, εἰ καὶ ἄστατον διὰ τὸ παλίμβολον τὸ μεταξύ, τὴν μὲν ἀνθρωπίνην διάνοιαν βασανίζον, συστέλλον δὲ τὸ κριτήριον. Τίς γὰρ ἐν τῇ προγνώσει τοῦ Θεοῦ (ὅθεν ὁρμᾷ τὰ πάντα τὴν ἀρχὴν) μὴ οὐχὶ ἀοράτως διακεκεῖσθαι ἕκαστον οὐκ οἶδεν ὥστε ἔχειν πρὸς ἀντιμετάβασιν ἀδυνάτως; ἐπεὶ οὐχ ὡς ἡμεῖς καὶ Θεὸς γινώσκει, τὰς ἐκβάσεις ἀναμένων, ἢ ἀδήλως μαντευόμενος, ἀλλὰ πάντα πάρεστι τῇ προγνώσει τοῦ Θεοῦ καὶ πρὶν γενέσθαι. ὁμοίως δὲ κἂν τέλει ἡ ἑκάστου ἐν ἐκείνῳ ἀμεταβάτως κειμένου, καὶ μένων, ἐν ᾧ ἕκαστος εὑρίσκεται, ὥς φησιν ὁ προφήτης. εἰ δὲ καὶ μεταβάλλεσθαί τι ἔσθ᾽ ὅτε καὶ ἐκλιπαροῦμεν καὶ δὴ καὶ ἐπιτυγχάνομεν, ἀλλὰ καὶ τοῦτο οὕτω γενηθήσεσθαι κέκριται ἐν τῇ προγνώσει τῆς προνοίας τοῦ προγινώσκοντος καὶ τὰ πάντα, καὶ καθ᾽ ἕκαστον, ὡς Διονύσιος ἔφη ἐν τῇ ἐκκλησιαστικῇ ἱεραρχίᾳ ἐν τῷ τῶν νεκρῶν μυστηρίῳ, καὶ προνοουμένου τῶν προεγνωσμένων καθήκοντος τῇ ἑαυτοῦ χρηστό-

τητος.

# ΙΕΡΟΜΝΗΜΟΝΟΣ ΤΙΝΟΣ

Διάλογος, μετὰ Μοναχοῦ τινὸς κατὰ Λατίνων.

Μοναχός.

Μετάνοιαν δέσποτα. Ἱερομνήμων. κτησαίμην πάτερ. Μοναχός. πῶς εἶπας; Ἱερομνήμων. πῶς σὺ προσεῖπας; Μοναχός. ὡς ἔθος μοι χαιρετᾶν. Ἱερομνήμων. κἀγὼ ὡς νοεῖν. Μοναχός. ἀλλ' ἐγὼ οὐ νοῶ. Ἱερομνήμων. τὴν μετάνοιαν οὐ νοεῖς; Μοναχός. μάλιστα ὅτι νοεῖν, ἀλλ' ἅπερ ἀποκρίνῃ μοι φημὶ μὴ νοεῖν. Ἱερομνήμων. ἀλλὰ κάθησο ἵν' ἔχῃς νοεῖν. Μοναχός. ἰδού, ἀλλὰ φράσον μοι τί ποιεῖς. Ἱερομνήμων. βλέπω, ἀκούω, λαλῶ. Μοναχός. οὐ τοῦτ' ἐρωτῶ, ἀλλὰ πῶς ἔχεις. Ἱερομνήμων. κάθημαι ἵν' ἀναπαύηται τὸ σῶμα. Μοναχός. ὑγιαίνεις λέγω. Ἱερομνήμων. τῷ δοκεῖν. Μοναχός. ψυχικῶς πυνθάνομαι. Ἱερομνήμων. μαθήσῃ. ἀλλ' αὐτός μοι πρῶτος φράσον, πόθεν ἥκεις, ποία δέ σοι πατρίς, καὶ τί σου τὸ ὄνομα, καὶ τίς ὁ σκοπὸς τῆς πρὸς ἡμᾶς σου ἀφίξεως. ἀπό τινων γὰρ τεκμαίρομαί σε σημείων, ξένον εἶναι καὶ νέηλυν, εἰ μὴ ἠπάτημαι. Μοναχός. ἀπατᾷ μὲν οὐδαμῶς, ἐκ γὰρ τῶν τῆς Ἀνατολῆς ἐλήλυθα μερῶν, πρὸς μοναχὸν δὲ ἡ περὶ πατρίδος ἐρώτησις, καὶ τοῦ ὀνόματος, περιττή. οὐ γὰρ οἰκεῖον τῷ μοναχῷ ἐπὶ γῆς ὀνομάζειν πατρίδα, ἀλλὰ ἀεὶ ἐκείνην ἐπιζητεῖν, τὴν ὄντως, τὴν ἐν οὐρανοῖς. Ἱερομνήμων. ἐπαινῶ σε πάτερ τῆς περὶ τοῦτο γνώσεως. ἐγγένοιτο δ' αὕτη κἀμοί. ἀλλὰ κἂν τῆς ὡς ἡμᾶς σου ἀφίξεως τὸν λόγον ἀπόδος. Μοναχός. παροδεύων οὕτω, καὶ διὰ τῆς θυρίδος ἀτενίσας, τὸ κατάσκιον τοδὶ χωρίον τὸ θεῖον, καὶ τοὺς τοῦ χοροῦ τουτουῒ νέους, ταῖς δέλτοις ἐγκύπτοντας, καὶ τὴν σὴν ἁγιότητα πρὸς αὐτοὺς διδασκάλου τόπον ἐπέχοντα εἰσῆλθον θεασάμενος. μᾶλλον δὲ πρὸ πάντων τούτων, προσκυνήσων τὸν ἔφιππον τοῦτον ἅγιον, ὃν ἀπὸ τῆς ἐπιγραφῆς Θεόδωρον εἶναι μανθάνω τὸν Τήρωνα, καὶ ὁ προσεχὴς οὗτος ναὸς τῷ αὐτοῦ ὀνόματι τετίμηται. Ἱερομνήμων. μάλιστα. Μοναχός. ἡμεδαπὸς ὁ ἅγιος, καὶ χάριν οἶδα τούτῳ μᾶλλον πολλήν, ὑπέρ τε τῶν πολλῶν ἄλλων, καὶ ὅτι μὲν τὴν σὴν ἁγιότητα θεάσασθαι κατηξίωσε τήμερον. Ἱερομνήμων. χάρις σοι πάτερ ὅτι καὶ τὴν πατρίδα ἡμῖν ὑπέφηνας. Μοναχός. ὦ δέσποτα. φράσον μοι φιλαλήθως, τί εἰσὶ ταῦτα, ἃ καὶ ἀκοῇ μὲν ὠσὶν ἤκουον ἀπών, καὶ ἐπιδημήσας δὲ, τοῖς ὀφθαλμοῖς ὁρῶ· σχίσματά τινα τῶν ἱερέων πρὸς ἀλλήλους, καὶ ἀρχιερέων. καὶ τὸν πατριάρχην ὑπὸ μὲν τῶν, τιμώμενον. ὑπὸ δὲ τῶν, ἀθετούμενον. ἀληθῶς ἔχει τοῦθ' ὃ λαλεῖται, ὅτι ἀπῆλθεν ὁ πατριάρχης ἐκεῖνος, σὺν τοῖς ἐκκλησιαστικοῖς καὶ τοῖς ἀρχιερεῦσι, καὶ ἔλαβον παρὰ τοῦ Πάπα φλωρία πολλά, καὶ ἐγένοντο ὅλοι Φράγγοι. Ἱερομνήμων. εἰ ἔλαβον φλωρία, οὐκ οἶδα, οὐ γὰρ παρὼν ἐτύγχανον ἐκεῖσε, ἠκηκόειν δὲ μᾶλλον, ὅτι καὶ στέρησιν εἶχον πολλήν· φλωρία γὰρ ἑκάστῳ δίδοσθαι μηνιαίως ἐτάχθη, ἕνεκεν ἀναλωμάτων τῶν εἰς τὰς ἀναγκαίας χρείας, ἃ καὶ ἐδίδοντο κομιδῇ στενῶς, ἀλλὰ κἂν τῷ τέλει φασὶν ἐγγὺς ἓξ μηνῶν ἐνεδέησεν αὐτοῖς ἐπιτηδές, ὥστε καταντῆσαι εἰς μεγάλην ἔνδειαν αὐτοὺς τῶν ἀναγκαίων. συχνῶς δὲ διεκηρύττετο πρὸς αὐτοὺς ἀπὸ θατέρου μέρους, ἢ καὶ αὐτοὶ καθ' ἑαυτοὺς

ὑπό-



πτευον ἐκ τῶν πραγμάτων τεκμαιρόμενοι, ὅτι εἰ μὴ συγκατάβασις γένηται πρὸς τὸ καταδέξασθαι Λατίνους εἰς ἕνωσιν, πρὸς τῷ τὴν ἐκεῖθεν ἔξοδον ἀπαγορεῦσαι, καὶ τὴν τῶν μηνιαίων φλωρίων, οὐχ ὅτι τῶν εἰσελαυνόντων μηνῶν, ἀλλὰ καὶ τῶν ἤδη παριππευσάντων τὴν ἀπόληψιν ἀπελπίσαι. καὶ ἐκ τούτου συνέβαινεν, εἰς πρῶτον πεσεῖν αὐτοῖς τὴν σφῶν αὐτῶν πανωλεθρίαν. ἀπειλὰς γέμειν ἐπέσειον αὐτοῖς ἕτεροι, τοὺς ἄκρως ἐνισταμένους, καὶ μὴ τοῖς Λατίνοις συμβαίνοντας λέγοντες, ἀειφυγίαν καταδικασθῆναι, καὶ τῇδε κἀκεῖσε διασπαρῆναι φυγάδας, εἰς τόπους, ὧν καὶ τὰ ὀνόματα φοβερὰ καὶ φρίκης πρόξενα τῷ τοῖς ὠμοτάτοις τῶν ἀνθρώπων ἐνοικεῖσθαι, διὰ τοὺς ὠμοτάτους αὐτῶν οἰκήτορας. οἷς καὶ ἄλλοις πλείοσιν ἐκδειματωθέντες, καὶ ἄκοντες ὑπέγραψαν, στέρξαντες τὸν Λατινισμόν, οὐχὶ δὲ δόσει φλωρίων. Μοναχός. καὶ πάντες ὑπέγραψαν; Ἱερομνήμων. πλὴν τοῦ Ἐφέσου καὶ τοῦ Σταυρουπόλεως. Μ'. ἀκούω περὶ τούτου τοῦ ἀνδρὸς τοῦ Ἐφέσου λέγω, φήμην μεγάλην καὶ ἐπαινετήν. Ἱερομνήμων. θαυμάσιος ὁ ἄνθρωπος. πᾶσι πνευματικοῖς χαρίσμασι κεκοσμημένος, καὶ παντοίας θείας σοφίας ἀνάπλεως, πρὸ τῆς ἀρχιερωσύνης βίον ἀσκήσας ὁσιακόν, κἀν τῇ Συνόδῳ διαπρέψας ὡς ἤκουσας. Μοναχός. καὶ ὁ Σταυρουπόλεως; Ἱερομνήμων. ἄνθρωπος τοῦ Θεοῦ καὶ αὐτός, οὐχὶ δὲ σοφίας τῆς ἐν λόγοις μέτοχος, ἀλλ' ὡς ἔχων πίστιν πρὸς τὸν Ἐφέσου, καὶ αὐτῷ ἑπόμενος, καὶ συμβούλῳ χρώμενος, δι' αὐτοῦ πεφύλακται ἐκ τοῦ πτώματος. Μοναχός. πῶς οὐ συνηρπάγη καὶ ὁ Ἐφέσου οἷς καὶ οἱ ἄλλοι, ὥστε συναινέσαι; Ἱερομνήμων. ἐκτὸς παντὸς πάθους ὁ ἀνήρ, μόνῳ προσῳκειωμένος Θεῷ, καὶ αὐτῷ μόνῳ προσανέχων τὸν νοῦν, τῶν δὲ βιωτικῶν ἁπάντων καὶ ὅσα τῇ τοῦ σώματος ἀνάγονται θεραπείᾳ πάμπαν ἐξιστάμενος. ὁ δὴ τοιοῦτος ἐξορίαν οὐ δέδιε, πεῖναν οὐχ ὑποστέλλεται, οὐ λογίζεται δίψαν, οὐ φρίττει ξίφος, φυλακὴν οὐ δειλιᾷ, τὸν θάνατον εὐεργέτην οἴεται. τί σοι δοκεῖ βιαιότερον ἄλλο τούτων, ὅπερ ἀναγκάσειν ἔμελλεν αὐτὸν τοῦ ὀρθοῦ φρονήματος ἐκπεσεῖν; Μοναχός. καὶ πῶς οὐκ ἠκολούθησαν αὐτῷ καὶ οἱ ἄλλοι; Ἱερομνήμων. ὅτι οὐκ ἦσαν κατ' ἐκεῖνον ἀπαθεῖς. Μοναχός. καὶ μετὰ τὸ στέρξαι καὶ ὑπογράψαι, εἰς ὅπερ εἷλκον αὐτοὺς οἱ Λατῖνοι, ἀπέλαβον τὰ φλωρία; Ἱερομνήμων. πῶς γὰρ οὔ; Μοναχός. ὥστ' ἐπεὶ, δι' αὐτὸ τοῦτ' ἐκρατήθησαν, ἵν' ἡ συγκατάβασις γένηται. δι' αὐτὸ τοῦθ' ὑπέκυψαν καὶ αὐτοί, ἵνα ταῦτα λάβωσι, καὶ δήπου τὸ λαληθὲν ἀληθές ἐστιν. ἀλλὰ καί τινας τῶν μητροπολιτῶν ἀκούω, τὸ ὑπογραφόμενον ἐκεῖνο ὑπὸ μάλης, ἄλλους δὲ μέσον τῶν μηρῶν συνέχοντας κρύπτειν μετὰ τὸ ὑπογράψαι, λέγοντά τε ἕκαστον αὐτῶν, εἰ μὴ λάμψει τὰ φλωρία ἐν τῇδέ μου τῇ παλάμῃ, τῶν ἀμηχάνων ἐστὶ δοῦναί με τὸ ἔγγραφον. Ἱερομνήμων. ἄλλως ἔχει τὸ ἀληθές. ὅτι κατὰ τὸν τῆς δωροδοκίας λόγον ἐδόθη τὰ φλωρία, ἵνα γένηται τὸ θέλημα τῶν Λατίνων, διὰ τῆς τῶν λαβόντων ταῦτα συγκαταβάσεως, ὅπερ οὐ πείθομαι γενέσθαι, ὅτι δ' ἀπῄτουν τὰ ἀποταχθέντα αὐτοῖς χάριν ἀναλωμάτων, εἶμαι καλῶς ἐποίουν. ἤδεισαν γὰρ σφᾶς αὐτοὺς ζημιωθέντας ψυχικῶς. τὸ δὲ καὶ σωματικῶς, καὶ τὰ φλωρία ἀπολέσαι, διπλῆν ἡγοῦντο τὴν ζημίαν. Μοναχός. πίστευσον ὡς εἰκάζω ἐξ ὧν ἀκούω, ὡς οὐδ' ἡ δωροδοκία ἀπλῶς, εἰ γὰρ καὶ μὴ πάντας μετῆλθον τοῖς δώροις, οὐ γὰρ δυνατόν, ἀλλά γε τοὺς προύχοντας αὐτῶν δοκεῖ μοι διαφθεῖραι. οὐ γὰρ ἂν τοσοῦτον πρᾶγμα κατορθῶσαι τοῖς Λατίνοις ἐξεγένετο. καὶ γὰρ οἱ νομεῖς, οὐ τὰ πρόβατα σύμπαντα ἐθίζουσιν ἕπεσθαι, ἀλλ' ἓν ἐξ αὐτῶν ἰδιοποιούμενοι καὶ



τρέφειν

καὶ οἱ ἀκούσαντες ζήσονται, καὶ οἱ τὰ ἀγαθὰ ποιήσαντες καὶ οἱ τὰ φαῦλα πράξαντες. ἀλλ᾽ οἱ μὲν εἰς ἀπόλαυσιν ζωῆς τῆς αἰωνίου, οἱ δὲ, τῆς κατακρίσεως.

Μοναχός.

Ἐκ τούτου τοῦ ῥητοῦ παρίστατε, ὅτι τὸ Πνεῦμα ὥσπερ ἐστὶ τοῦ Πατρὸς οὕτως ἐστὶ καὶ τοῦ Υἱοῦ. Πνεῦμα γάρ φησι Χριστοῦ, καὶ Πνεῦμα τοῦ ἐγείραντος τὸν Χριστὸν ἐκ νεκρῶν, τουτέστι τοῦ Πατρός. Γερομνήμων. κατὰ τὴν μεταδοτικὴν χάριν καὶ ἐνέργειαν σύμφημι καὶ αὐτὸς, οὐ μὴν κατὰ τὴν ὑπόστασιν. οὐ γὰρ καθ᾽ ὑπόστασιν ἐνοικεῖ τὸ Πνεῦμα τὸ ἅγιον τῇ οἱαδήτινι κτίσει. τὰς γὰρ ἐνεργείας φησὶ, τοῦ Πνεύματος, πνεύματα φίλον τῷ Ἠσαΐᾳ καλεῖν. Μοναχός. καὶ εἰ τὸ Πνεῦμα ἐπὶ τῆς ἐνεργείας λαμβάνεις, πῶς τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ μνησθεὶς ὁ ἀπόστολος, τὴν ὑπόστασιν τοῦ Πνεύματος παρέλειψεν; Γερομνήμων. οὐκ ἔμαθες ἐν εὐαγγελίοις, ὅπως ὁ Υἱὸς καὶ ὁ Πατὴρ ἐλεύσεται, καὶ μονὴν ποιήσει παρ᾽ ἡμῖν, μὴ γὰρ οὐκ ἔσται σὺν ἐκείνοις, καὶ ἡ τοῦ ἀχωρίστου αὐτῶν καὶ ὁμουσίου Πνεύματος ἐνέργεια; κἀν τούτῳ καὶ γὰρ τὸ κατ᾽ ἐνέργειαν ἐλεύσεσθαι καὶ αὐτοὺς ὑποληπτέον. ἀλλὰ τοῦτο τὸ ἀποστολικὸν ῥητὸν ἐξηγούμενος καὶ ὁ ἅγιος ἐν Γρηγορίοις θεολόγος λέγει, μετὰ Παύλου θεολόγησον τοῦ πρὸς τρίτον οὐρανὸν ἀναχθέντος, ποτὲ μὲν συναριθμοῦντος τρεῖς ὑποστάσεις, καὶ τοῦτο ἐνηλλαγμένως, οὐ τετηρημένως τὰς τάξεις, προαριθμοῦντος, ἐναριθμοῦντος, ὑπαριθμοῦντος τὸ αὐτὸ, ἵνα τί δηλώσῃ; τὴν ἰσοτιμίαν τῆς φύσεως. ποτὲ δὲ τῶν τριῶν μεμνημένου, ποτὲ δὲ τῶν, ἢ τινὸς, ὡς ἑπομένου πάντως τοῦ λείποντος. καὶ ποτὲ μὲν τὴν ἐνέργειαν τοῦ Θεοῦ τῷ Πνεύματι διδόντος, ὡς οὐδὲν διαφέροντος, ποτὲ δὲ ἀντὶ τοῦ Πνεύματος τὸν Χριστὸν ἐπιφέροντος. Μοναχός. ἔστω ταῦτα. ἀλλὰ καθ᾽ ὃν εἴρηκας λόγον, πάντα τὰ τῶν θεοφόρων ἀνδρῶν ἢ (λέγω) καὶ γυναικῶν τοιούτων λείψανα, ἔδει συντηρεῖσθαι ἀδιαλώβητα, οὐχὶ τῶν μὲν, οὕτως, τῶν δ᾽ οὔ. Γερομνήμων. εὐκόλως ἔχων σοι τὴν περὶ τούτου διασάφησιν ἐπεξεργάσασθαι τό γε νῦν, ὅμως παραλείψω τοῦτο. ἔστι γὰρ οὐ περὶ τούτων νῦν ὁ λόγος ἡμῖν, ἀλλ᾽ ὡς ἐν παρόδῳ καὶ ταῦτα λέλεκται. ἐπὶ δὲ τὸν εἱρμὸν ἐπανακτέον τούτων, καὶ τὸ πρόσφορον τέλος αὐτῷ δοτέον, ἐς ὕστερον δὲ καὶ τὸ περὶ τούτου ἢ καὶ περὶ ἄλλων σαφηνιστέον. Μοναχός. καὶ ποῖος ἐστὶν ὁ τοῦ λόγου εἱρμός, Γερομνήμων.

Ὁ λόγος ἀπέδειξεν, ὅτι ἀρεσκομένου τοῦ Θεοῦ τῇ τῶν δογμάτων ὀρθότητι τῆς καθ᾽ ἡμᾶς ἐκκλησίας, δι᾽ αὐτῆς καὶ τῶν αὐτῆς τροφίμων τὰς θεοσημείας ἐργάζεται καὶ ζώντων, καὶ μετὰ θάνατον, καὶ τῇ τῶν ἁγίων λειψάνων ἀναδείξει, ὧν οὐδὲν ἐστὶν ἐν τῇ κατὰ Λατίνους, ὡς ἀποστρεφομένου πάντως τοῦ Θεοῦ καὶ μυσαττομένου ταύτην διὰ τὴν κακοδοξίαν αὐτῶν. Μοναχός. οὕτως ἔχει φιλαλήθως. Γερομνήμων. ἀλλ᾽ οἱ βέβηλοι τὰς ψυχὰς, οἱ πικροὶ τοῦ ὄντος συκοφάνται, οἱ κατήγοροι τῶν ἐπαινετῶν, οἱ τῆς ἀληθείας προδόται, οἱ τοῦ ψεύδους προήγοροι, οἱ τῆς τοῦ Κυρίου θεολογίας παρεξηγηταὶ, οἱ τῶν ὀρθῶν δογμάτων ἀθετηταὶ, καὶ τῶν σκολιῶν ὑφηγηταὶ, οἱ τῶν ἁγίων διάβολοι, ἐτόλμησαν εἰπεῖν, ὢ γλώσσης μιαρᾶς, καὶ ψυχῆς ἀκαθάρτου, ὅτι τῷ ἀφορισμῷ τοῦ Πάππα καθυπεβλήθησαν οὗτοι, καὶ διὰ τοῦτο διέμειναν ἀδιάλυτοι, οὐχ ὅτι παρὰ τῷ Θεῷ, ἐν ἁγίοις τετάχαται. καὶ περὶ τῶν θαυμάτων πάλιν τολμηροτέρα γνώμῃ καὶ γλώσσῃ, ἀλλὰ φρίττει μου ὁ λογισμὸς καὶ δια[illegible]ται ὁ λόγος τὰ τούτων λέγειν ληρήματα, μᾶλλον δὲ τὰ τῆς ἀσεβείας ἐρεύγματα. εἰρήσθω δὲ ὅμως περὶ τῶν ἁγίων λειψάνων, ὅπως ἐνταῦθα

μὲν